# ΙΕΡΑΤΙΚΟΝ

# ΙΕΡΑΤΙΚΟΝ

## ΠΕΡΙΕΧΟΝ


τὰς Ἀκολουθίας τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ὄρθρου,

τὰς θείας καὶ ἱερὰς Λειτουργίας

Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ Μεγάλου

καὶ τῶν Προηγιασμένων,

μετὰ τῶν συνήθων προσθηκῶν.



ΕΝ ΡΩΜΗ

1950

Ἐγκρίσει καὶ ἀδείᾳ
τῆς Ἁγιωτάτης καὶ Ἀποστολικῆς Ἕδρας
τῆς παλαιᾶς Ῥώμης.

BS5500
H633
1385060
Universitätsbibliothek
Eichstätt
88/21956

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ
## ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ

Μετὰ τὴν θ' ὥραν, ἀπέρχεται ὁ Ἱερεὺς σὺν τῷ Διακόνῳ, καὶ ποιοῦσιν τὰς συνήθεις γ΄ μετανοίας. Εἶτα εἰσέρχονται εἰς τὸ ἱερὸν βῆμα διὰ τῆς βορείας πύλης, καὶ προσκυνοῦσιν τρὶς πρὸ τῆς ἁγίας Τραπέζης. Ὁ δὲ Ἱερεύς, ἐνδυσάμενος τὸ Ἐπιτραχήλιον, ἐκφωνεῖ·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

---

Τοῦ Ἑσπερινοῦ μὴ συναπτομένου τῇ ἐννάτῃ Ὥρᾳ, λέγομεν μετὰ τὸν Εὐλογητόν·

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Καὶ πάλιν Δόξα Πατρί. . . ἕως τέλους. Εἶτα·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ,

καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Κύριε, ἐλέησον, ιβ΄.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Καὶ ὁ Προεστώς, ἢ ὁ ταχθεὶς Ἀναγνώστης, λέγει τὸν Προοιμιακὸν Ψαλμὸν χύμα.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## ΨΑΛΜΟΣ ΡΓ΄. 103.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον...

Ὅταν δὲ ψάλλωσι τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, ἀπέρχεται ὁ Ἱερεύς, καὶ ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγει τὰς εὐχὰς τοῦ Λυχνικοῦ.

### Εὐχὴ πρώτη.

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον

μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· διότι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σῴζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ β΄.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρούσης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ γ΄.

Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾷν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ δ΄.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων Δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ε΄.

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων· καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ· μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ στ΄.

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα, ὁ καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος, καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν διὰ ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ· δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντάς σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν

ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ ζ'.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρίσας ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλούς, καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθᾶσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας· παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ, ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διαναστῶμεν πρὸς

δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου· ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λεγομένου τοῦ Προοιμιακοῦ Ψαλμοῦ, ὁ Διάκονος, λαβὼν τὸ Στιχάριον αὐτοῦ καὶ τὸ Ὠράριον, προσέρχεται τῷ Ἱερεῖ, καὶ λέγει· Εὐλόγησον, Δέσποτα, τὸ στοιχάριον σὺν τῷ ὡραρίῳ. Καὶ ὁ Ἱερεὺς εὐλογεῖ αὐτά, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἶτα ἐνδύεται ὁ Διάκονος τὰς οἰκείας στολάς.

Πληρουμένου δὲ τοῦ Προοιμιακοῦ Ψαλμοῦ, λέγει ὁ Διάκονος, ἱστάμενος ἐν τῷ συνήθει τόπῳ, ἤ, εἰ μὴ ὑπάρχοντος Διακόνου, αὐτὸς ὁ Ἱερεύς, τὴν μεγάλην Συναπτήν, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τό· Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, ( ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου, ἢ Ἐπισκόπου ) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου

Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν ( ἢ τῶν ἀρχόντων ἡμῶν ), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ ( ἢ αὐτῶν ), τοῦ Κυρίου δεηθῶμεν.

[ Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ τοῦ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτοῦ ( αὐτῶν ) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν. ]

Ὑπὲρ τῆς πόλεως ( ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας ) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνησις.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καί, πληρωμένων τῶν Εἰρηνικῶν, ὁ Διάκονος εἰσέρχεται ἐν τῷ ἱερατείῳ.

Εἶτα, εἰ μὲν ἔστιν ἑσπέρα Σαββάτου, ὁ Ἀναγνώστης, στὰς ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἀναγινώσκει τὸ πρῶτον Κάθισμα τοῦ Ψαλτηρίου, τοῦτ' ἔστι τὸ Μακάριος ἀνήρ. Εἰ δὲ τῇ ἐπαύριόν ἐστι Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτή, ἢ ἡμέρα ἑορταζομένου Ἁγίου, ἀναγινώσκει τοὺς τρεῖς πρώτους Ψαλμοὺς τοῦ Καθίσματος τούτου. Τῇ δὲ Κυριακῇ ἑσπέρας, Ψαλτήριον οὐκ ἀναγινώσκεται, ὡς καὶ τῇ Παρασκευῇ ἑσπέρας.

Καὶ μετὰ τὸ Κάθισμα, ὁ Διάκονος, ἐξελθὼν διὰ τῆς βορείας θύρας, λέγει τὴν μικρὰν Συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ἀρχομένου δὲ ὑπὸ τῶν Χορῶν τοῦ Κύριε, ἐκέκραξα, λαβὼν ὁ Διάκονος τὸ θυμιατήριον, καὶ θυμίαμα βαλών, αἰτεῖται εὐλογίαν παρὰ τοῦ Ἱερέως, λέγων· Εὐλόγησον, Δέσποτα, τὸ θυμίαμα, καὶ ὁ Ἱερεὺς εὐλογεῖ αὐτό, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε...

Καὶ θυμιᾷ ὁ Διάκονος τὴν ἁγίαν Τράπεζαν, τό τε ἱερατεῖον, τὸν ναὸν ἅπαντα, καὶ τοὺς ἐν τῷ βήματι· καὶ ὑποστρέψας, τίθησι τὸν θυμιατόν, καὶ περιμένει ἐκεῖσε.

Ὅταν δὲ ψάλλωσι τὸ **Δόξα, καὶ νῦν,** ὁ Ἱερεὺς ἐνδύεται Φελώνιον, καὶ γίνεται Εἴσοδος. Λαβὼν ὁ Διάκονος τὸ θυμιατήριον, καὶ παρὰ τοῦ Ἱερέως τὸ Ἅγιον Εὐαγγέλιον, εἰ ἀναγινώσκεται εὐαγγελικὴ περικοπή, ἐξέρχεται ἅμα τῷ Ἱερεῖ διὰ τοῦ βορείου κλίτους. Καί, ἀνοιγμένων τῶν ἁγίων θυρῶν, καὶ προπορευομένων Ἀναγνωστῶν δύο μετὰ λαμπάδων, καὶ μετ᾽ αὐτοὺς τοῦ Διακόνου, ἐξέρχεται ὄπισθεν καὶ ὁ Ἱερεὺς διὰ τοῦ βορείου κλίτους, κεχαλασμένον ἔχων τὸ Φελώνιον, καὶ ἀπέρχονται εἰς τὸν συνήθη τόπον, ἔνθα οἱ μὲν Ἀναγνῶσται τιθέασι τὰ μανουάλια, ὁ δὲ Ἱερεὺς ἵσταται καταντικρὺ τῶν ἁγίων θυρῶν· ἵσταται δὲ καὶ ὁ Διάκονος ἐκ δεξιῶν τοῦ Ἱερέως μικρὸν ἐκ πλαγίου. Καὶ κύψας μικρόν, κρατῶν καὶ τὸ Ὠράριον αὐτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει μυστικῶς, ὅσον μόνον ἀκούειν τὸν Ἱερέα· **Τοῦ Κυρίου δεηθῶμεν.**

Ὁ δὲ Ἱερεὺς λέγει μυστικῶς τὴν εὐχὴν τῆς Εἰσόδου.

### Εὐχὴ τῆς Εἰσόδου.

**Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.**

**Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Καὶ ὁ Διάκονος προσφέρει τῷ Ἱερεῖ τὸ ἅγιον Εὐαγγέλιον, καὶ ἀσπάζεται τοῦτο ὁ Ἱερεύς.

Εἶτα ὁ Διάκονος, δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ Ὡραρίου, κρατῶν αὐτὸ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, Δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογεῖ κατὰ ἀνατολάς, λέγων·

**Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ διάκονος·

Ἀμήν.

Εἶτα ἀπέρχεται, καὶ θυμιᾷ τὰς ἁγίας εἰκόνας κατὰ τὸ ἔθος, τὴν εἰς τὸ στασίδιον τοῦ Προεστῶτος, καὶ τὸν Προεστῶτα, ἢ μόνον τὰς ἁγίας εἰκόνας, καὶ πάλιν ἵσταται ἐν ᾧ τόπῳ πρότερον ἵστατο, περιμένων τὴν τοῦ Θεοτοκίου ἐκπλήρωσιν.

Πληρωθέντος δὲ τοῦ Θεοτοκίου, εἰσέρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ χαράξας σταυρὸν μετὰ τοῦ θυμιατηρίου, ἢ ἀνυψῶν τὸ ἅγιον Εὐαγγέλιον, ἐκφωνεῖ·

Σοφία, ὀρθοί.

Καὶ εὐθὺς ψάλλεται τό· Φῶς ἱλαρόν.

**Φῶς ἱλαρὸν ἁγίας δόξης * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν,* καὶ Ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.**

Οἱ δὲ Ἀναγνῶσται αἴροντες πάλιν λαμπάδας, προπορεύονται μέχρι τῶν ἁγίων θυρῶν. Ὁ δὲ Διάκονος εἰσελθὼν ἐντὸς τοῦ ἁγίου βήματος, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν. Ὁ δὲ Ἱερεὺς προσκυ-

νήσας ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἀσπασάμενος αὐτάς, εἰσέρχεται.

Μετὰ τὸ τέλος τοῦ Φῶς ἱλαρόν, ὁ Διάκονος, ἱστάμενος πρὸ τῶν ὡραίων πυλῶν, καὶ βλέπων πρὸς τὸν χορόν, ἐκφωνεῖ·

Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ τῆς ἡμέρας Προκείμενον δίστιχον.

Στραφεὶς δὲ ὁ Ἱερεὺς πρὸς δυσμάς, δεδεμένας ἔχων τὰς χεῖρας, ἵσταται περιμένων τὴν ἐκπλήρωσιν τοῦ Προκειμένου· εἶτα βάλλει μετάνοιαν, καὶ ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ, καὶ ἀνακλείονται αἱ ἅγιαι θύραι.

Εἶτα, ἐὰν ὑπάρχωσι ἀναγνώσματα προφητικά, ὁ Ἀναγνώστης ἀναγινώσκει ταῦτα ἐν τῷ μέσῳ τοῦ ναοῦ, τοῦ Διακόνου ἐν ἀρχῇ ἑκάστου ἐκφωνοῦντος· Σοφία, καὶ Πρόσχωμεν.

Ἐὰν δὲ μέλλωσιν ἀναγνωσθῆναι ἀποστολικαὶ περικοπαί, ὁ Διάκονος ἐκφωνεῖ· Πρόσχωμεν· Σοφία· Πρόσχωμεν.

Μετὰ δὲ τὸ Προκείμενον, ὁ Διάκονος, σταθεὶς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν Ἐκτενήν, ψαλλόντων τῶν δύο χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου, ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως

ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει (ἢ χώρᾳ) ταύτῃ (ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ λέγεται·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα·

τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ τῆς κεφαλοκλισίας, μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας· οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν· οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα λέγει ἐκφώνως ὁ Ἱερεύς·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἰ μὲν οὐκ ἔστιν Ἀγρυπνία, ψάλλονται τὰ στιχηρὰ τῶν Ἀποστίχων. Εἶτα ὁ Προεστὼς λέγει τό·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα τὸ Τρισάγιον, Παναγία Τριάς, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία....

Καὶ ψάλλονται τὰ Τροπάρια κατὰ τὴν τυπικὴν διάταξιν.

Ὁ δὲ Διάκονος ἔξωθεν ἱστάμενος, μετὰ τὰ Τροπάρια ἐκφωνεῖ·

Σοφία. Εὐλόγησον.

Καὶ ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ λέγεται· Στερέωσαι, Χριστὲ ὁ Θεός, τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σὺν δὲ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ ( ἢ μονῇ ) εἰς αἰῶνας αἰώνων.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Χορός· Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Χορός· Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον, τρίς. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, χαλάσας τὸ Φελώνιον, ἱσταμένου τοῦ Διακόνου ἔξωθεν ἐκ δεξιῶν, καὶ τὸ Ὠράριον συνήθως κρατοῦντος, λέγει τὴν Ἀπόλυσιν.

---

Εἰ δὲ ἔστιν Ἀγρυπνία, μετὰ τὴν ἐκφώνησιν τῆς εὐχῆς τῆς κεφαλοκλισίας, ψάλλονται τὰ στιχηρὰ τῆς λιτῆς· ὧν ψαλλομένων, εἰσελθὼν ὁ Διάκονος καὶ λαβὼν τὸν θυμιατόν, καὶ θυμίαμα βαλών, καὶ αἰτήσας εὐλογίαν συνήθως, ἐξέρχεται ἅμα τῷ Ἱερεῖ διὰ τοῦ βορείου μέρους, κεκλεισμένων οὐσῶν τῶν ἁγίων θυρῶν, προπορευομένων τῶν λαμπάδων, καὶ ἵστανται ἐν τῷ νάρθηκι· ψαλλόντων δὲ τῶν Χορῶν ἢ τῶν Ἀδελφῶν, ὁ Διάκονος θυμιᾷ τὰς ἁγίας εἰκόνας, τὸν Ἱερέα, καὶ τοὺς Χοροὺς κατὰ τὸ συνήθως. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν στιχηρῶν, ἐκφωνεῖ ὁ Διάκονος·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις

Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἐκκλησίας ἢ τῆς μονῆς), καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Καὶ ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου, ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης· σκέπης τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν κατοικούντων ἐν αὐτῷ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ κοπιώντων καὶ διακονούντων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπὲρ ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προαπελθόντων εὐσεβῶς Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων· ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων, καὶ ὑπὲρ τῶν Ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ, εἴπωμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων, κράτους, νίκης, διαμονῆς, ὑγιείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Εἶτα μνημονεύει ὧν θέλει ζώντων, καὶ τεθνεώτων.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν τὴν καθ᾿ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καί ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔπειτα ἐκφωνεῖ ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα λέγει ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ πάντων κλινομένων τὰς κεφαλὰς καὶ ἐπὶ γῆς κεκυφότων, ἱσταμένου τοῦ Διακόνου ἐκ δεξιῶν τοῦ Ἱερέως, κρατοῦντος τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς αὐτοῦ, ἐπεύχεται ὁ Ἱερεὺς μεγαλοφώνως·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἐκκλησίας ἢ τῆς μονῆς) καὶ πάντων σου τῶν Ἁγίων· εὐπρόσδεκ-

τον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς, καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψαλλομένων τῶν Ἀποστίχων, προπορευομένων τῶν λαμπάδων, εἰσέρχονται πάντες ἐν τῷ ναῷ· καὶ τὰ μὲν μανουάλια τίθενται παρ' ἑκάτερα τοῦ προευτρεπισθέντος τετραποδίου, ἐν ᾧ κεῖται μετὰ σίτου καὶ πέντε ἄρτων δίσκος, ὧν ἔθος ἔχομεν προσφέρειν ἐν τῇ ἐκκλησίᾳ· παρ' ἑκάτερα δὲ τοῦ δίσκου, ἀγγεῖα δύο μεστά, τὸ μὲν οἴνου, τὸ δὲ ἐλαίου· κεῖται δὲ ὁ μὲν οἶνος ἐξ ἀριστερῶν, τὸ δὲ ἔλαιον ἐκ δεξιῶν. Ὁ δὲ Ἱερεὺς ἅμα τῷ Διακόνῳ ἵσταται ἔσωθεν τῶν ὡραίων πυλῶν.

Πληρωθέντων οὖν τῶν Ἀποστίχων, λέγει ὁ μὲν Προεστὼς τὸ Νῦν ἀπολύεις..., ὁ δὲ Ἀναγνώστης τὸ Τρισάγιον, καὶ μετὰ τὸ Πάτερ ἡμῶν... ἐκφωνεῖ ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία..., καὶ ψάλλεται τὸ Ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον.

Ψαλλομένου οὖν τοῦ τελευταίου Ἀπολυτικίου, ὁ Διάκονος θυμιᾷ κύκλωθεν τοὺς ἄρτους σταυροειδῶς, εἶτα τὸν Προεστῶτα, καὶ πάλιν τοὺς ἄρτους ἔμπροσθεν μόνον. Πλησιάσαντος δὲ τοῦ Ἱερέως, ἵσταται παρὰ τὸ δεξιὸν αὐτοῦ μέρος ὁ Διάκονος, κρατῶν τῇ μὲν ἀριστερᾷ χειρὶ τὸ θυμιατήριον, τοῖς δὲ τρισὶ δακτύλοις τῆς δεξιᾶς τὸ Ὠράριον. Καὶ πληρωθέντος τοῦ Τροπαρίου, δεικνύων μετὰ τοῦ Ὠραρίου τοὺς ἄρτους, λέγει· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἱερεύς, λαβὼν ἄρτον ἕνα ἐπὶ χεῖρας, καὶ τυπώσας ἐν αὐτῷ σταυρόν, ἐπεύχεται τὴν εὐχὴν ταύτην μεγαλοφώνως·

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ πεντακισχιλίους χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς

ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον· καὶ πλήθυνον αὐτὰ ἐν τῇ πόλει (ἢ χώρᾳ, ἢ ἐν τῇ ἁγίᾳ μονῇ) ταύτῃ, καὶ εἰς τὸν κόσμον σου ἅπαντα· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς ἁγίασον. Ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμήν, λέγομεν τὸν ψαλμὸν ΛΓ΄. 33. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ... ἕως τοῦ·

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Αὐτὸ τοῦτο ψάλλει ἑκάτερος τῶν Χορῶν ἅπαξ.

Ὁ δὲ Ἱερεὺς ἀπελθὼν ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, βλέπων πρὸς δυσμάς. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ψαλμοῦ, ἐπεύχεται ὁ Ἱερεύς, λέγων·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καί, τοῦ Διακόνου ἐκφωνοῦντος· Σοφία· Εὐλόγησον, ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ λέγεται· Στερέωσαι, Χριστὲ ὁ Θεός, τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σὺν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ (ἢ μονῇ) εἰς αἰῶνας αἰώνων.

Ὁ Ἱερεύς·

## Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Χορός· Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ ὁ Ἱερεύς·

## Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Χορός· Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον, τρίς. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, χαλάσας τὸ Φελώνιον, ἱσταμένου τοῦ Διακόνου ἔξωθεν ἐκ δεξιῶν, καὶ τὸ Ὡράριον συνήθως κρατοῦντος, λέγει τὴν Ἀπόλυσιν.



# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΚΑΘΗΜΕΡΙΝΟΥ ΕΣΠΕΡΙΝΟΥ

Μετὰ τὴν θ' ὥραν, ποιεῖ ὁ Ἱερεὺς Εὐλογητόν.

Ἀναγινωσκομένου δὲ τοῦ Προοιμιακοῦ ψαλμοῦ, ὁ Ἱερεὺς ἀναγινώσκει τὰς εὐχὰς τοῦ Λυχνικοῦ. Πληρωθέντος δὲ τοῦ Προοιμιακοῦ, λέγει τὰ Εἰρηνικά, καὶ τὴν Ἐκφώνησιν. Ἔπειτα ὁ Χορὸς ψάλλει τὸ Κύριε, ἐκέκραξα καὶ τὰ Στιχηρά, ὧν πληρωθέντων, οὐ γίνεται εἴσοδος, ἀλλ' ὁ Προεστὼς λέγει εὐθὺς τὴν ἐπιλύχνιον εὐχαριστίαν, τὸ Φῶς ἱλαρόν. Μετὰ τοῦτο, ὁ μὲν Ἱερεὺς λέγει· Ἑσπέρας προκείμενον. Ὁ δὲ Χορὸς ψάλλει τὸ τῆς ἡμέρας Προκείμενον.

Εἶτα ὁ Προεστὼς ἀπαγγέλει τὸ Καταξίωσον, Κύριε, μεθ' ὃ ὁ Ἱερεὺς λέγει· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Μετὰ τὴν Ἐκφώνησιν Εἴη τὸ κράτος τῆς βασιλείας σου..., ὁ Χορὸς ψάλλει τὰ Ἀπόστιχα.

Τούτων δὲ πληρωθέντων, ὁ Προεστὼς λέγει τὸ Νῦν ἀπολύεις..., ὁ δὲ Ἀναγνώστης τὸ Τρισάγιον, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεύς, ἔσωθεν τοῦ βήματος, ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ Χορὸς ψάλλει τὸ ἀπολυτίκιον Τροπάριον καὶ τὸ Θεοτοκίον, μεθ' ὃ ὁ Ἱερεύς, ἐξελθὼν τοῦ βήματος καὶ στὰς πρὸ τῶν ὡραίων πυλῶν, λέγει τὴν ἐκτενῆ· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου..., εἶτα τὴν Ἐκφώνησιν Ὅτι ἐλεήμων... καὶ ἡ συνήθης Ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ
## ΕΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ
## ΤΕΣΣΑΡΑΚΟΣΤΗ

Ἰστέον ὅτι, τῆς Λειτουργίας τῶν Προηγιασμένων μὴ τελουμένης, ὁ Ἑσπερινὸς γίνεται, ὡς προεγράφη, μέχρι τοῦ Φῶς ἱλαρόν, μεθ᾽ ὃ ψάλλεται τὰ ἑξῆς Προκείμενα· τῷ μὲν Σαββάτῳ ἑσπέρας· Ὁ Κύριος ἐβασίλευσεν, τῇ δὲ Κυριακῇ ἑσπέρας, τὰ λεγόμενα Μεγάλα Προκείμενα τοῦ Τριῳδίου, ταῖς δὲ λοιπαῖς ἡμέραις, τὰ Προκείμενα τῶν καθ᾽ ἑκάστην Ἀναγνωσμάτων.

Πληρωθέντος δὲ τοῦ Προκειμένου, λέγει αὖθις ὁ Ἱερεὺς τὴν ἐκτενῆ Εἴπωμεν πάντες..., εἶτα τὰ Ἀπόστιχα, τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, τὴν Ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Μετὰ τοῦτο, ψάλλομεν τὰ Τροπάρια ταῦτα, ποιοῦντες καὶ ἀνὰ μίαν μετάνοιαν εἰς ἕκαστον, πλὴν τοῦ τελευταίου·

Θεοτόκε Παρθένε...

Βαπτιστὰ τοῦ Χριστοῦ...

Δόξα... Ἱκετεύσατε ὑπὲρ ἡμῶν...

Καὶ νῦν... Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν...

Εἶτα Κύριε, ἐλέησον, μ᾽. Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν... Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ αὖθις ὁ Ἱερεύς·

**Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ προϊστάμενος Ἱερεύς·

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα, τῇ μὲν Κυριακῇ ἑσπέρας, ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, καὶ αὖθις λέγεται τὸ Μικρὸν Ἀπόδειπνον, καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ γίνεται ἡ συνήθης Ἀπόλυσις.

Ἐν ταῖς δὲ λοιπαῖς ἡμέραις, ποιοῦμεν πάσας τὰς τετυπωμένας ις΄ μετανοίας, λέγοντες τὴν Εὐχὴν Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου...

Μετὰ τοῦτο, ὁ Ἀναγνώστης λέγει τὸ Τρισάγιον, καὶ ὁ Ἱερεὺς ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Ὁ Ἀναγνώστης· Κύριε, ἐλέησον, ιβ΄, καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν·

Παναγία Τριάς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ καὶ λέγω· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ὁ Ἀναγνώστης· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος, ἐκ γ΄, καὶ μετανοίας τρεῖς. Δόξα... Καὶ νῦν..., τὸν ψαλμὸν Εὐλογήσω τὸν Κύριον... καὶ τὸ Ὑψώ-

σω σε, ὁ Θεός μου..., ἐὰν γίνηται τὸ ἄριστον. Καὶ ἡ τελεία Ἀπόλυσις.

Τῇ Τρίτῃ καὶ τῇ Πέμπτῃ τῆς ἑβδομάδος τῆς Τυρινῆς ἑσπέρας, μετὰ τὸ Τρισάγιον, ψάλλεται τὸ Θεοτόκε Παρθένε, διότι οὐ γίνεται Λειτουργία τῇ ἐπομένῃ ἡμέρᾳ· ποιοῦμεν δὲ καὶ μετανοίας, τὸ Κύριε, ἐλέησον μ΄, Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν... Καὶ Ἀπόλυσις.



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ
## ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ
## ΕΣΠΕΡΑΣ

Ἀπὸ τῆς ἀρχῆς μέχρι τῆς Εἰσόδου, ἅπαντα γίνεται κατὰ τὴν τάξιν τοῦ καθημερινοῦ Ἑσπερινοῦ, ἄνευ μετανοιῶν καὶ ἄνευ καθίσματος. Εἶτα γίνεται ἡ Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, καὶ εὐθὺς τὰ Ἀναγνώσματα, ὁ Ἀπόστολος, καὶ ἀπ᾿ ἄμβωνος τὸ Εὐαγγέλιον· τὸ Εἴπωμεν πάντες, τὸ Καταξίωσον, Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, καὶ μετὰ τὸ Εἴη τὸ κράτος, οἱ Χοροὶ ἔρχονται πρὸς τὴν βορείαν πύλην τοῦ Ἁγίου βήματος καὶ ἄρχονται ψάλλοντες τὰ Ἀπόστιχα, ἓξ δὲ Ἱερεῖς ἀσκεπεῖς ἐνδεδυμένοι Φελώνια καὶ αἴροντες μετ᾿ εὐλαβείας ἐπὶ κεφαλῆς τὸν Ἐπιτάφιον, ἐξ ὧν ὁ Προεστὼς φέρει ἐν τῇ δεξιᾷ καὶ τὸ ἱερὸν Εὐαγγέλιον, ἐξέρχονται τοῦ ἱεροῦ βήματος. Προπορευομένων τῶν λαμπάδων, τῶν ἑξαπτερύγων, τῶν ψαλτῶν, καὶ τοῦ Διακόνου θυμιῶντος, ἔρχονται εἰς τὸ μέσον τοῦ Ναοῦ, ὅπου ἵσταται ηὐτρεπισμένον τὸ Κουβούκλιον, καὶ οἱ μὲν Χοροὶ τῶν ψαλτῶν ἵστανται κατὰ σειράν, ψάλλοντες τὰ λοιπὰ τῶν Ἀποστίχων, οἱ δὲ Ἱερεῖς φέροντες ἐπὶ τῆς κεφαλῆς τὸν Ἐπιτάφιον, ποιοῦσι τρεῖς κύκλους περὶ τὸ Κουβούκλιον, εἶτα τιθέασιν αὐτὸν ἐντὸς τοῦ Κουβουκλίου, καὶ ὁ Προεστὼς ῥαίνει αὐτὸ εὐόσμοις ἄνθεσιν, καὶ ἀσπάζεται τὸ ἱερὸν Εὐαγγέλιον καὶ τὸν Ἐπιτάφιον. Οἱ δὲ Ἱερεῖς, προερχόμενοι ἀνὰ δύο, ἀσπάζονται ἐπίσης, καὶ ἔπειτα λαμβάνουσι παρὰ τοῦ Προεστῶτος ἄνθη, ὡσαύτως καὶ πάντες οἱ κληρικοὶ καὶ ὁ λαός. Ἐν τῷ μεταξύ, ψάλλεται ὑπὸ τοῦ β΄ Χοροῦ τὸ Δοξαστικὸν Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς, ἀργῶς καὶ μετὰ μέλους. Εἶτα τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια Ὁ εὐσχήμων Ἰωσὴφ μέχρι τοῦ κηδεύσας ἀπέθετο, καὶ τὸ Ταῖς Μυροφόροις γυναιξὶ μέχρι τοῦ διαφθορᾶς ἐδείχθη ἀλλότριος, καὶ ἡ Ἀπόλυσις· Δόξα σοι, Χριστὲ ὁ Θεός. . . Ὁ δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν τὰ φρικτὰ Πάθη καὶ τὸν ζωοποιὸν Σταυρὸν καὶ τὴν ἑκούσιον Ταφὴν σαρκὶ καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, κ. τ. λ.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ
## ΕΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ
## ΚΑΙ ΕΝ ΤΑΙΣ ΛΟΙΠΑΙΣ ΗΜΕΡΑΙΣ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Μετὰ τὴν θ΄ ὥραν εἰς τὸ Λυχνικόν, ἀλλάσσει ὁ Ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν αὐτοῦ στολήν, καὶ στὰς κατενώπιον τῆς Ἁγίας Τραπέζης, λαβὼν ἐν τῇ ἀριστερᾷ τὸν σταυρὸν μετὰ κηρίου ἀπτομένου, καὶ ἐν τῇ δεξιᾷ τὸν θυμιατόν, σφραγίζει μετὰ τοῦ θυμιατοῦ σταυροειδῶς καὶ ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τοῦ παρόντος Τροπαρίου·

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ψάλλεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ Ἱερέως, καὶ τρὶς ὑπὸ τῶν Χορῶν ἄνευ Στίχου. Εἶθ' οὕτω λέγει ὁ Ἱερεὺς τοὺς ἑπομένους Στίχους, θυμιῶν τὴν ἁγίαν Τράπεζαν κύκλῳ καὶ τὸ ἱερατεῖον ὅλον, τὰς δεσποτικὰς εἰκόνας, καὶ τὸν λαὸν ἐκ τῆς ὡραίας πύλης.

Καθ' ἕκαστον δὲ Στίχον, ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.

Στίχ. α΄.

Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν

οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχ. β΄.

Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχ. γ΄.

Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στίχ. δ΄.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα...

Ὁ Χορός· Χριστὸς ἀνέστη..

Καὶ νῦν...

Ὁ Χορός· Χριστὸς ἀνέστη...

Εἶτα ὁ Ἱερεὺς γεγωνοτέρᾳ φωνῇ·

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας.

Ὁ Χορός· Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ εὐθὺς ἡ μεγάλη Συναπτή.

Εἰς τὸ Κύριε, ἐκέκραξα, ἐξέρχεται ὁ Ἱερεὺς σὺν τῷ σταυρῷ καὶ τῷ κηρίῳ, καὶ θυμιᾷ σύμπαντας τοὺς πιστούς, περινοστῶν ἅπαντα τὸν λαόν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Καὶ τὸ Φῶς Ἱλαρὸν ψάλλεται ἀργῶς ὁλόκληρον ἔξω τοῦ βήματος.

Εἶτα ψάλλεται τὸ μέγα Προκείμενον, καὶ ὁ Ἱερεὺς εἰσέρχεται εἰς τὸ Ἱερόν.

Πληρωθέντος δὲ τοῦ Προκειμένου, ὁ Διάκονος λέγει·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ ὁ Ἱερεύς, ἱστάμενος πρὸ τῆς ὡραίας πύλης, ἀναγινώσκει τὸ Εὐαγγέλιον Οὔσης ὀψίας... μέχρι τοῦ οὐ μὴ πιστεύσω.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Εἶτα ἡ Ἐκτενής, τὸ Καταξίωσον, ἡ Αἴτησις· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν..., ἡ εὐχὴ τῆς κεφαλοκλισίας, ἡ Ἐκφώνησις Εἴη τὸ κράτος, τὸ Ἀπόστιχον στιχηρὸν Ἡ ἀνάστασίς σου Χριστὲ Σωτήρ... καὶ ἀκολούθως τὰ Στιχηρὰ τοῦ Πάσχα· Πάσχα ἱερόν.., Δόξα... Καὶ νῦν... Ἀναστάσεως ἡμέρα... καὶ τὸ Χριστὸς ἀνέστη, τρίς.

Καὶ μετὰ τὴν Ἀπόλυσιν, ὁ Ἱερεύς, ὑψῶν τὸν σταυρόν, ἐκφωνεῖ τὸ τελευταῖον Χριστὸς ἀνέστη· καὶ ἡμῶν ἀποκρινομένων ὡσαύτως τρίς· Ἀληθῶς ἀνέστη, ὁ Ἱερεὺς ἐπιλέγει· Δόξα τῇ αὐτοῦ ἁγίᾳ καὶ τριημέρῳ ἐγέρσει, ἡμεῖς δέ· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.



# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΠΟΔΕΙΠΝΟΥ

Ὁ Ἱερεὺς ἐκφωνεῖ·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ ἡμεῖς· Ἀμήν.

Ὁ Προεστώς·

**Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.**

**Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.**

Ὁ Ἀναγνώστης δὲ τὸ Τρισάγιον, Παναγία Τριάς, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι σοῦ ἐστιν... Μετὰ τὴν Ἐκφώνησιν, ὁ Ἀναγνώστης τὸ Ἀμήν, τὸ Κύριε, ἐλέησον ιβ', Δόξα... Καὶ νῦν... Δεῦτε, προσκυνήσωμεν... τρίς, καὶ ἀναγινώσκει τὸ Ἀπόδειπνον. Ὁ δὲ Ἱερεύς, προσκυνήσας τρίς, εἰσέρχεται ἐντὸς τοῦ ἁγίου βήματος. Μετὰ τὸ Τὴν τιμιωτέραν, ὁ Ἱερεύς· Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Καὶ μετὰ τὸ τελευταῖον Τὴν τιμιωτέραν, ἐκφωνεῖ· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Καὶ μετὰ τὰς εὐχὰς Ἄσπιλε, ἀμόλυντε... Καὶ δὸς ἡμῖν, Δέσποτα... Ἡ ἐλπίς μου ὁ Πατήρ... Τὴν πᾶσαν ἐλπίδα μου... Δόξα... Καὶ

νῦν. . . Κύριε, ἐλέησον, τρίς, ὁ Ἱερεὺς ἐκφωνεῖ· Εἰρήνη πᾶσι. Ὁ Χορός· Καὶ τῷ πνεύματί σου. Ὁ Ἱερεύς· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Καὶ ἡμῶν κεκλιμένων, λέγει εὐθύς·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων σου τῶν Ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ᾽ οὕτω ποιήσας ὁ Προεστὼς μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς Ἀδελφοῖς·

Εὐλογεῖτε, Πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ.

Καὶ οἱ Ἀδελφοί· Ὁ Θεὸς συγχωρήσαι σοι, Πάτερ ἅγιε.

Καὶ ἄρχονται οἱ Ἀδελφοί, ἀνὰ δύο, εἷς ἐξ ἑκατέρου Χοροῦ κατὰ τάξιν, ποιεῖν τὸ αὐτό, καὶ αἰτεῖσθαι, καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσιν ἅπαντες.

Ὁ δὲ Ἱερεὺς λέγει·

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Καὶ ἡμεῖς τὸ Κύριε, ἐλέησον, συνεχῶς.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου, ἢ Ἀρχιμανδρίτου, ἢ Καθηγουμένου) ἡμῶν τοῦ δεῖνος, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν·

Ὁ Χορός· Κύριε, ἐλέησον, γ΄.

Ὁ Προεστώς· Δι᾿ εὐχῶν... Καὶ λαβόντες οἱ πάντες συγχώρησιν ἀπὸ τοῦ Προεστῶτος, ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν.

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ

## Α' — ΚΑΘΗΜΕΡΙΝΟΥ

Ὁ Ἱερεύς, ἐνδυσάμενος τὸ ἐπιτραχήλιον, ἔρχεται πρὸ τῶν ὡραίων πυλῶν καὶ προσκυνεῖ τρίς. Εἶτα λέγει·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Καὶ ἡμεῖς· Ἀμήν·

Ὁ Προεστώς·

**Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.**

**Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.**

Ὁ δὲ Ἀναγνώστης τὸ Τρισάγιον, Παναγία Τριάς, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι σοῦ ἐστιν... Μετὰ τὴν Ἐκφώνησιν, ὁ Ἀναγνώστης τὸ Ἀμήν, τὸ Κύριε, ἐλέησον ιβ', Δόξα... Καὶ νῦν... Δεῦτε, προσκυνήσωμεν... τρίς, καὶ λέγει τὸ Κάθισμα τοῦ Μεσονυκτικοῦ.

Ὁ δὲ Ἱερεύς, προσκυνήσας τρίς, εἰσέρχεται εἰς τὸ Ἱερόν. Μετὰ τὸ Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν καὶ

ἡ Ἐκφώνησις· Ὅτι σοῦ ἐστιν... καὶ τὰ Τροπάρια, Κύριε, ἐλέησον, μ΄, καὶ τὴν εὐχὴν Ὁ ἐν παντὶ καιρῷ...

Μετὰ Τὴν τιμιωτέραν, ὁ Ἱερεὺς λέγει·

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Εἶτα ὁ Ἱερεὺς λέγει·

Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα, μία Θεότης, μία Δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ τὰς εὐχὰς ταύτας·

Ἰστέον δέ, ὅτι ἡ Εὐχὴ αὕτη λέγεται ἀπὸ τῆς κβ΄ τοῦ Σεπτεμβρίου μηνός, μέχρι τῆς Κυριακῆς τῶν Βαΐων.

### Εὐχὴ Βασιλείου τοῦ Μεγάλου·

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Δυνάμεων καὶ πάσης σαρκός, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καρδίας τε καὶ νεφροὺς ὁ ἐτάζων, καὶ τὰ κρυπτὰ τῶν ἀνθρώπων σαφῶς ἐπιστάμενος, τὸ ἄναρχον καὶ ἀΐδιον φῶς, παρ᾽ ᾧ οὐκ ἔστι παραλλαγή, ἢ τροπῆς ἀποσκίασμα, αὐτός, ἀθάνατε Βασιλεῦ, πρόσδεξαι τὰς ἱκεσίας ἡμῶν, ἃς κατὰ τὸν παρόντα καιρὸν τῆς νυκτός, τῷ πλήθει τῶν σῶν οἰκτιρμῶν θαῤῥοῦντες, ἐκ ῥυπαρῶν πρὸς σὲ χειλέων ποιούμεθα· καὶ ἄφες ἡμῖν τὰ πλημμελήματα ἡμῶν, τὰ ἐν ἔργῳ, καὶ λόγῳ, καὶ διανοίᾳ, ἐκ γνώσεως, ἢ ἀγνωσίας πλημμε-

ληθέντα ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ναοὺς ἡμᾶς ποιῶν τοῦ Ἁγίου σου Πνεύματος· καὶ δώρησαι ἡμῖν ἐν ἀγρύπνῳ καρδίᾳ, καὶ νηφούσῃ διανοίᾳ, πᾶσαν τοῦ παρόντος βίου τὴν νύκτα ἡμᾶς διελθεῖν, ἀπεκδεχομένους τὴν παρουσίαν τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς ἡμέρας τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ μετὰ δόξης ἐπὶ γῆς κριτὴς τῶν ἁπάντων ἐλεύσεται, ἑκάστῳ ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες, ἀλλ᾽ ἐγρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν αὐτοῦ εὑρεθῶμεν, καὶ ἕτοιμοι εἰς τὴν χαράν, καὶ εἰς τὸν θεῖον νυμφῶνα τῆς δόξης αὐτοῦ συνεισέλθωμεν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀνέκφραστος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ἀληθινὸν φῶς, τὸ φωτίζον καὶ ἁγιάζον τὰ σύμπαντα, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Εἶτα ὑψοῖ ὁ Ἱερεὺς τὰς χεῖρας, λέγων·*

### Εὐχὴ τοῦ αὐτοῦ.

Σὲ εὐλογοῦμεν, ὕψιστε Θεέ, καὶ Κύριε τοῦ ἐλέους, τὸν ποιοῦντα ἀεὶ μεθ᾽ ἡμῶν μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· τὸν παρασχόντα ἡμῖν τὸν ὕπνον εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν καὶ ἄνεσιν τῶν κόπων τῆς πολυμόχθου σαρκός. Εὐ-

χαριστοῦμέν σοι, ὅτι οὐ συναπώλεσας ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλ' ἐφιλανθρωπεύσω συνήθως, καὶ πρὸς ἀπόγνωσιν κειμένους ἡμᾶς ἤγειρας, εἰς τὸ δοξολογῆσαι τὸ κράτος σου. Διὸ δυσωποῦμεν τὴν ἀνείκαστόν σου ἀγαθότητα. Φώτισον ἡμῶν τοὺς τῆς διανοίας ὀφθαλμούς, καὶ τὸν νοῦν ἡμῶν ἐκ τοῦ βαρέος ὕπνου τῆς ῥᾳθυμίας ἀνάστησον· ἄνοιξον ἡμῶν τὸ στόμα, καὶ πλήρωσον αὐτὸ τῆς σῆς αἰνέσεως, ὅπως ἂν δυνηθῶμεν ἀπερισπάστως ᾄδειν τε καὶ ψάλλειν, καὶ ἐξομολογεῖσθαί σοι τῷ ἐν πᾶσι καὶ ὑπὸ πάντων δοξαζομένῳ Θεῷ, τῷ ἀνάρχῳ Πατρί, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὰς εὐχὰς Μνήσθητι, Κύριε... Ὑπερένδοξε, ἀειπάρθενε... Ἡ ἐλπίς μου... Τὴν πᾶσαν ἐλπίδα... ὁ Ἱερεὺς ποιεῖ τὴν Ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Καὶ ἡμεῖς· Δόξα... Καὶ νῦν. Κύριε, ἐλέησον, γ΄. Πάτερ ἅγιε, εὐλόγησον.

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶθ' οὕτω, ποιήσας ὁ Προεστὼς μετάνοιαν ἐπὶ γῆς, λέγει τοῖς Ἀδελφοῖς·

Εὐλογεῖτε, Πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ.

Καὶ οἱ Ἀδελφοί· Ὁ Θεὸς συγχωρήσαι σοι, Πάτερ ἅγιε.

Καὶ ἄρχονται οἱ Ἀδελφοί, ἀνὰ δύο, εἷς ἐξ ἑκατέρου Χοροῦ κατὰ τάξιν, ποιεῖν τὸ αὐτό, καὶ αἰτεῖσθαι, καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσιν ἅπαντες.

Ὁ δὲ Ἱερεὺς λέγει·

Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Καὶ ἡμεῖς τὸ Κύριε, ἐλέησον, συνεχῶς.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου στρατοῦ.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου, ἢ Ἀρχιμανδρίτου, ἢ Καθηγουμένου) ἡμῶν τοῦ δεῖνος καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν.

Ὑπὲρ τῶν ἐλεούντων καὶ διακονούντων ἡμῖν.

Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς.

Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν.

Ὑπὲρ ἀναῤῥύσεως τῶν αἰχμαλώτων.

Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων.

Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων.

Μακαρίσωμεν τοὺς εὐσεβεῖς Βασιλεῖς.

Τοὺς ὀρθοδόξους Ἀρχιερεῖς.

Τοὺς κτίτορας τῆς ἁγίας ἐκκλησίας ( ἢ μονῆς ) ταύτης.

Τοὺς γονεῖς ἡμῶν, καὶ διδασκάλους, καὶ πάντας τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, τοὺς ἐνθάδε κειμένους καὶ ἁπανταχοῦ, ὀρθοδόξους.

Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν·

Ὁ Χορός· Κύριε, ἐλέησον, ἐκ γ΄.

Ὁ Προεστώς·

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Β΄ — ΑΝΑΣΤΑΣΙΜΟΥ

Μετὰ τὸ Εὐλογητὸς ὁ Θεός, ὁ προϊστάμενος λέγει· Δόξα σοι, ὁ Θεός... τὸ Βασιλεῦ οὐράνιε, τὸ Τρισάγιον, Κύριε ἐλέησον, ιβ΄. Δόξα... Καὶ νῦν... Δεῦτε προσκυνήσωμεν, τρίς, καὶ ὁ Ν΄ Ψαλμός. Εἶτα ψάλλεται ὁ Τριαδικὸς Κανὼν μετὰ στίχου Ἁγία Τριὰς ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς· καὶ τὰ θ΄ Τριαδικὰ Ἄξιόν ἐστιν.

Μετὰ ταῦτα λέγεται τὸ Τρισάγιον, αὖθις, καὶ ἡ Ὑπακοὴ τοῦ Ἤχου· εἶτα ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον, μ'.

Ἐκφώνησις·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα γίνεται ἡ μικρὰ Ἀπόλυσις, καὶ εὐθύς· Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου, κ. τ. λ.

Universitätsbibliothek

## Γ' — ΕΟΡΤΑΣΙΜΟΥ

Ἐν ταῖς Δεσποτικαῖς Ἑορταῖς, ὅταν συμπίπτωσιν ἐν Κυριακῇ ἢ ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἢ ὅταν Θεομητορικὴ Ἑορτὴ ἢ μνήμη ἑορταζομένου Ἁγίου συμπίπτῃ ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία τοῦ Μεσονυκτικοῦ γίνεται οὕτως·

Μετὰ τὸ Εὐλογητὸς ὁ Θεός, τὸ Δόξα σοι... Βασιλεῦ οὐράνιε... ὡς ἀνωτέρω. Μετὰ τὸν Ν΄ ψαλμόν, ψάλλεται ἡ Λιτὴ τῆς ἑορτῆς· εἶτα λέγεται τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς. Ὁ Ἱερεύς· Ἐλέησον ἡμᾶς... ἡ Ἀπόλυσις, τὸ Εὐξώμεθα καὶ τὸ Δι᾿ εὐχῶν.



Universitätsbibliothek

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ ΤΩΝ ΚΥΡΙΑΚΩΝ ΚΑΙ ΤΩΝ ΕΟΡΤΩΝ

Ὁ Ἱερεύς, εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, καὶ προσκυνήσας τρὶς ἐνώπιον τῆς ἁγίας Τραπέζης, βάλλει Ἐπιτραχήλιον, καὶ ἀνοίξας τὸ βημόθυρον, ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ Τρισάγιον, καί, ἐὰν βούληται ὁ Προεστώς, οἱ συνήθεις ψαλμοὶ ΙΘ΄. 19 Ἐπακούσαι σου Κύριος, καὶ Κ΄. 20 Κύριε, ἐν τῇ δυνάμει σου.

Τούτων ψαλλομένων, ὁ Ἱερεὺς θυμιᾷ τὸ ἱερατεῖον, καὶ ἐξερχόμενος ἀπὸ τοῦ βορείου κλίτους, τὸν ναὸν ἅπαντα, τοὺς Ἀδελφοὺς καὶ τὸν νάρθηκα. Μετὰ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὀφείλουσι δὲ ἔχειν ἀκρίβειαν οἱ ψάλλοντες καὶ ὁ θυμιῶν, ἵνα, ὅταν λέγῃ οὗτος τὴν Ἐκφώνησιν, εὑρίσκηται ἔμπροσθεν τῆς Εἰκόνος τοῦ Χριστοῦ.

Μετὰ δὲ τὸ θυμιᾶσαι ἅπαντα τὸν ναόν, καὶ πληρωθῆναι τὰ συνήθως ψαλλόμενα Τροπάρια Σῶσον, Κύριε, τὸν λαόν σου... Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ... Προστασία φοβερά..., ὁ Ἱερεύς, ἔνδοθεν τοῦ ἁγίου βήματος, λέγει·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν καὶ παντὸς τοῦ στρατοπέδου αὐτῶν.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἐκφώνησις·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἀναγνώστης· Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

Καὶ εὐθὺς ἐκφωνεῖ ὁ Ἱερεύς·

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα λέγομεν τὸν Ἑξάψαλμον μετὰ πάσης προσοχῆς καὶ φόβου Θεοῦ, ὡς αὐτῷ λαλοῦντες ἀοράτως, καὶ δυσωποῦντες ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Μετὰ δὲ τοὺς τρεῖς Ψαλμούς, ὁ Ἱερεὺς λέγει τὰς Εὐχὰς τοῦ Ὄρθρου, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν.

Εὐχὴ α΄.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐμβαλόντι εἰς τὸ στόμα ἡμῶν λόγον

αἰνέσεως, τοῦ προσκυνεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον· καὶ δεόμεθά σου τοῖς σοῖς οἰκτιρμοῖς, οἷς πάντοτε ἐχρήσω περὶ τὴν ἡμετέραν ζωήν. Καὶ νῦν ἐξαπόστειλον τὴν βοήθειάν σου ἐπὶ τοὺς ἑστῶτας πρὸ προσώπου τῆς ἁγίας δόξης σου, καὶ ἀπεκδεχομένους τὸ παρὰ σοῦ πλούσιον ἔλεος· καὶ δὸς αὐτοῖς μετὰ φόβου καὶ ἀγάπης πάντοτέ σοι λατρεύοντας αἰνεῖν τὴν ἀνεκδιήγητόν σου ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ β΄.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς· δικαιοσύνην καὶ ἁγιασμὸν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου, συνέτισον ἡμᾶς· σὲ γὰρ δοξάζομεν τὸν ὄντως ὄντα Θεὸν ἡμῶν· κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν· καὶ μνήσθητι, Κύριε, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν πάντων κατ᾿ ὄνομα· καὶ σῶσον αὐτοὺς τῇ δυνάμει σου· εὐλόγησον τὸν λαόν σου, καὶ ἁγίασον τὴν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς βασιλεῦσιν ἡμῶν, καὶ παντὶ τῷ λαῷ σου.

Ὅτι ηὐλόγηται, καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ γʹ.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου· δίδαξον ἡμᾶς, ὁ Θεός, τὴν δικαιοσύνην σου, τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπὸ τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τὸν τῆς δικαιοσύνης ἥλιον, καὶ ἀνεπηρέαστον τὴν ζωὴν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ Ἁγίου σου Πνεύματος· κατεύθυνον τὰ διαβήματα ἡμῶν εἰς ὁδὸν εἰρήνης· δὸς ἡμῖν ἰδεῖν τὸν ὄρθρον καὶ τὴν ἡμέραν ἐν ἀγαλλιάσει, ἵνα σοὶ τὰς ἑωθινὰς ἀναπέμπωμεν εὐχάς.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ δʹ.

Δέσποτα ὁ Θεός, ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτὸς ὕπνῳ, καὶ

διαναστήσας πρὸς δοξολογίαν καὶ ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καὶ νῦν προσκυνοῦντάς σε, καὶ κατὰ δύναμιν εὐχαριστοῦντάς σοι· καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· ἀνάδειξον ἡμᾶς υἱοὺς φωτὸς καὶ ἡμέρας, καὶ κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καὶ παντὸς τοῦ λαοῦ σου, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου, δεομένων τῆς σῆς φιλανθρωπίας, καὶ πᾶσι χορήγησον τὸ μέγα σου ἔλεος.

Ἵνα, σεσωσμένοι ψυχῇ τε καὶ σώματι, πάντοτε διαμένοντες, μετὰ παῤῥησίας δοξάζωμεν τὸ θαυμαστὸν καὶ εὐλογημένον ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ε΄.

Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος, Πάτερ ἅγιε, θαυματοποιέ, παντοδύναμε καὶ παντοκράτορ, πάντες σὲ προσκυνοῦμεν, καὶ σοῦ δεόμεθα, τὰ σὰ ἐλέη καὶ τοὺς σοὺς οἰκτιρμοὺς ἐπικαλούμενοι εἰς βοήθειαν καὶ ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν

σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τὰς ἑωθινὰς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς· ἀλλὰ πάντας ἡμᾶς περιποίησαι διὰ τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καὶ ψαλλόντων εἰς δόξαν σήν, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, καὶ τοῦ Ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθὸς καὶ ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τὰς ἱκεσίας εἰς τὸ ὑπερουράνιον καὶ νοερόν σου θυσιαστήριον.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ στ΄.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διαπαντὸς πρὸς σὲ ἀποβλέπωμεν, τὸν Σωτῆρα καὶ Εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτὸς μέτρῳ, καὶ ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διὸ δεόμεθά σου, Κύριε, δὸς ἡμῖν χάριν καὶ δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καὶ προσεύχεσθαι ἀδιαλείπτως ἐν φόβῳ καὶ τρόμῳ, τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διὰ τῆς ἀν-

τιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καὶ τῶν ἐν νυκτὶ πρὸς σὲ βοώντων· ἐπάκουσον αὐτῶν καὶ ἐλέησον· καὶ σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν τοὺς ἀοράτους καὶ πολεμίους ἐχθρούς.

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ζʹ.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καὶ ἐπισυναγαγὼν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς· δὸς ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καὶ πρόσδεξαι ἡμῶν τὰς κατὰ δύναμιν εὐχαριστίας· καὶ δίδαξον ἡμᾶς τὰ δικαιώματά σου· ὅτι προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ σύ, Κύριε, τῷ Πνεύματί σου τῷ Ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διὸ δεόμεθά σου, εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ἑκουσίως ἢ ἀκουσίως, ἄνες, ἄφες, συγχώρησον. Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ἡ ἀπολύτρωσις. Σὺ εἶ μόνος ἅγιος, βοηθός, κραταιὸς ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, καὶ ἐν σοὶ ἡ ὕμνησις ἡμῶν διαπαντός.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ η΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ᾿ ἡμῶν, καὶ συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ, τοῦ καὶ ἐν νυκτὶ ἐπᾶραι τὰς χεῖρας ἡμῶν, καὶ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τὰς δεήσεις ἡμῶν, τὰς ἐντεύξεις, τὰς ἐξομολογήσεις, τὰς νυκτερινὰς λατρείας· καὶ χάρισαι ἡμῖν, ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. Εὐλόγησον ἡμῶν εἰσόδους καὶ ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καὶ δὸς ἡμῖν καταντῆσαι εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τὴν ἀγαθότητα.

Ὅτι ηὐλόγηταί τὸ πανάγιόν σου ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ θ΄.

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν, τὸ τῆς σῆς θεογνωσίας φῶς ἀκήρατον, καὶ τοὺς τῆς διανοίας ἡμῶν ὀφθαλμοὺς διάνοιξον, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν· ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν φρονοῦντες καὶ πράττοντες.

Ὅτι σὺ εἶ ὁ ἁγιασμός, καὶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ι΄.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καὶ τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καὶ ἐξομολογήσεως, τὴν τοῦ προφήτου Δαβὶδ μετάνοιαν πρὸς συγχώρησιν ὑποδείξας· αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καὶ μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατὰ τὸ μέγα σου ἔλεος· καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὰ ἀνομήματα ἡμῶν· ὅτι σοὶ ἡμάρτομεν, Κύριε, τῷ καὶ τὰ ἄδηλα καὶ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καὶ μόνῳ ἔχον-

τι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δὲ καθαρὰν κτίσας ἐν ἡμῖν, καὶ πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καὶ τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ᾽ εὐδόκησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, προσφέρειν σοι θυσίαν δικαιοσύνης, καὶ ἀναφορὰν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις.

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ια΄.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι ἡμῶν μετὰ τῶν κτισμάτων σου πάντων, τὴν κατὰ δύναμιν δοξολογίαν, καὶ ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοὶ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖ τὴν ἀκατάληπτόν σου δόξαν· μόνος γὰρ εἶ Θεὸς ἀληθινὸς καὶ πολυέλεος.

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ιβ'.

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὅτι παρήγαγες τὴν σκιὰν τῆς νυκτός, καὶ ἔδειξας ἡμῖν πάλιν τὸ φῶς τῆς ἡμέρας· ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα. Ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καὶ πρόσδεξαι τὴν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρὸς σὲ καταφεύγομεν, τὸν ἐλεήμονα καὶ παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τὸν νοῦν ἡμῶν, καὶ τὰς αἰσθήσεις ὅλας διατήρησον, ἵνα ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντες τὴν ὁδὸν τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν ζωὴν τὴν αἰώνιον, ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος δὲ τοῦ Ἑξαψάλμου, λέγει ὁ Ἱερεύς, ἐνώπιον τῆς ἁγίας Τραπέζης, τὰ Εἰρηνικά, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλάξ, μετὰ πᾶσαν δέησιν, τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν (ἢ τῶν ἀρχόντων ἡμῶν), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ (ἢ αὐτῶν), τοῦ Κυρίου δεηθῶμεν.

[ Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ τοῦ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτοῦ (ἢ αὐτῶν) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Μετὰ δὲ τὴν Ἐκφώνησιν, ψάλλεται τὸ Θεὸς Κύριος... Εἶτα τὰ Τροπάρια κατὰ τὴν τυπικὴν διάταξιν.

Μετὰ δὲ τοῦτο, ἡ συνήθης Στιχολογία. Καὶ μετὰ τὴν συμπλήρωσιν τῆς πρώτης Στιχολογίας, ποιεῖ ὁ Ἱερεὺς τὴν μικρὰν Συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ τὰ Καθίσματα.

Μετὰ τὴν δευτέραν Στιχολογίαν, πάλιν ἡ μικρὰ Συναπτή·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τῆς παναγίας, ἀχράντου...

Ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ τὰ Καθίσματα.

Μετὰ τὸν Πολυέλεον, καὶ ἐν ταῖς Κυριακαῖς, τὰ ἀναστάσιμα Εὐλογητάρια, ὁ Ἱερεὺς λέγει μικρὰν Συναπτήν, ὡς ἀνωτέρω·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ...

Ἀντιλαβοῦ, σῶσον...

Τῆς παναγίας, ἀχράντου...

Ἐκφώνως·

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ τὸ Κάθισμα μετὰ τὸν Πολυέλεον, ἢ ἡ Ὑπακοὴ τοῦ Ἤχου.

Εἶτα οἱ Χοροὶ ψάλλουσι τοὺς Ἀναβαθμοὺς τοῦ Ἤχου.

Τῶν Ἀναβαθμῶν ψαλλομένων, ὁ Διάκονος, εὐλογήσαντος τοῦ Ἱερέως, ἐνδύεται τὸ Στιχάριον συνήθως· ὁμοίως καὶ ὁ Ἱερεὺς τὸ Φελώνιον· καὶ μετὰ τὴν συμπλήρωσιν τῶν Ἀντιφώνων, ψάλλεται ὑπὸ τοῦ Χοροῦ τὸ Προκείμενον τῆς Κυριακῆς ἢ τῆς Ἑορτῆς.

Καὶ μετὰ τοῦτο, ὁ Διάκονος, ἀνοιγμένης τῆς ὡραίας πύλης, ἐκφωνεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ ψάλλεται τὸ Πᾶσα πνοή.

Καὶ μετὰ τοῦτο ἐκφωνεῖ ὁ Διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ ( Ματθαῖον, ἢ Μάρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην ) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ λέγει ὁ Ἱερεὺς τὸ ἑωθινὸν Εὐαγγέλιον.

Οὗ πληρωθέντος, λέγει ὁ Προεστὼς ( εἰ ἔστι Κυριακὴ δηλονότι )·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, * προσκυνήσωμεν ἅγιον Κύριον * Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. * Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, * καὶ τὴν ἁγίαν σου Ἀνάστασιν * ὑμνοῦμεν καὶ δοξάζομεν· * σὺ γὰρ εἶ Θεὸς ἡμῶν, * ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, * τὸ ὄνομά σου ὀνομάζομεν. * Δεῦτε, πάντες οἱ πιστοί, προσκυνήσωμεν * τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· * ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ * χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. * Διαπαντὸς εὐλογοῦντες τὸν Κύριον, * ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. * Σταυ-

ρὸν γὰρ ὑπομείνας δι᾿ ἡμᾶς, * θανάτῳ θάνατον ὤλεσεν.

Εἶτα· Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Καὶ λέγεται ὁ πεντηκοστὸς Ψαλμὸς Ἐλέησόν με, ὁ Θεός...

Ὁ δὲ Ἱερεύς, χαλάσας τὸ Φελώνιον, καὶ βαστάζων τὸ ἅγιον Εὐαγγέλιον ἔμπροσθεν τοῦ στήθους, ἐξέρχεται, καὶ ἵσταται εἰς τὸ μέσον τοῦ Ναοῦ, καὶ ὁ Ἀναγνώστης, ἢ ὁ Εὐταξίας, ἵσταται δεξιόθεν αὐτοῦ, κατέχων Μανουάλιον μετὰ λαμπάδος ἡμμένης, καὶ γίνεται ὁ ἀσπασμὸς τοῦ ἁγίου Εὐαγγελίου παρὰ τῶν Ἀδελφῶν συνήθως. Ἐν ἄλλῃ δὲ Ἑορτῇ, οὐ γίνεται ὁ ἀσπασμός, εἰ μὴ μόνον ἐν Κυριακῇ.

Μετὰ τὸν ἀσπασμὸν τοῦ ἁγίου Εὐαγγελίου, ὁ Ἱερεὺς εἰσέρχεται ἐν τῷ βήματι διὰ τῆς ὡραίας πύλης, καὶ ἐπιτίθεται τὸ ἅγιον Εὐαγγέλιον ἐπὶ τῇ ἁγίᾳ Τραπέζῃ.

Μετὰ τὸν πεντηκοστὸν Ψαλμόν, ψάλλεται τὸ Ἰδιόμελον τῆς ἑορτῆς. Καὶ ἐρχόμενος ὁ Διάκονος ἵσταται ἐν τῷ συνήθει τόπῳ, καὶ λέγει μεγαλοφώνως·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾿ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· τοῦ τιμίου, ἐνδόξου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πα-

τέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἐκκλησίας ἢ τῆς μονῆς), καὶ πάντων σου τῶν Ἁγίων· ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον, ιβ΄.

Ὁ Ἱερεύς·

**Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Καὶ ἀρχόμεθα τῶν Κανόνων.

Ἀπὸ γ΄ Ὠδῆς, ποιεῖ ὁ Διάκονος μικρὰν Συναπτήν·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. . .

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. . .

Τῆς παναγίας, ἀχράντου. . .

Ἐκφώνως ὁ Ἱερεύς·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ τὸ Κάθισμα τοῦ Μηναίου.

Ἀπὸ στ΄ Ὠδῆς, πάλιν ποιεῖ ὁ Διάκονος μικρὰν Συναπτήν.

Ἐκφώνως ὁ Ἱερεύς·

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπο-

μεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Ἔπειτα τὸ Κοντάκιον, καὶ ὁ Οἶκος, καὶ Ἀνάγνωσις εἰς τὸ Συναξάριον.

Τῆς δὲ η΄ Ὠδῆς πληρωθείσης, ἐκφωνεῖ ὁ Διάκονος μεγαλοφώνως·

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτός, ἐν ὕμνοις μεγαλύνωμεν.

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα· εἰ δὲ μή, ψάλλεται ἡ θ΄ Ὠδὴ τῆς Ἑορτῆς. Καὶ οὕτως, ἐξερχόμενος ὁ Ἱερεύς, ἵσταται ἐν τῷ συνήθει τόπῳ. Ὁ δὲ Διάκονος θυμιᾷ τὴν ἁγίαν Τράπεζαν, τὸ Ἱερατεῖον καὶ τὸν ναὸν ὅλον.

Μετὰ τὴν θ΄ Ὠδήν, Συναπτὴ μικρά, καὶ ἡ Ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Εἶτα ψάλλουσιν οἱ Χοροὶ τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν...

Καὶ τὸ Ἐξαποστειλάριον.

Μετ᾿ αὐτό, ψάλλονται οἱ Αἶνοι καὶ τὰ Στιχηρά. Τῇ Κυριακῇ, λέγομεν καὶ Στίχους δύο·

Στίχ. α΄. Ἀνάστηθι, Κύριε ὁ Θεός μου...

Στίχ. β΄. Ἐξομολογήσομαί σοι, Κύριε...

Δόξα... Τὸ Ἑωθινόν, εἰ ἔστι Κυριακή. Καὶ νῦν... Ὑπερευλογημένη ὑπάρχεις... Καὶ ἡ Δοξολογία μεγάλη.

Μετ᾿ αὐτήν, τῇ μὲν Κυριακῇ, λέγομεν Τροπάρια Ἀναστάσιμα· εἰς μὲν τὸν α΄, γ΄, πλ. α΄ Ἦχον, καὶ εἰς Ἦχον Βαρύν, τὸ παρὸν Τροπάριον, εἰς Ἦχον β΄·

Ἀναστὰς ἐκ τοῦ μνήματος,* καὶ τὰ δεσμὰ διαρρήξας τοῦ Ἅδου,* ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου, Κύριε,* πάντας ἐκ τῶν

παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· * ἐμφανίσας σεαυτὸν τοῖς Ἀποστόλοις σου, * ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, * καὶ δι᾽ αὐτῶν τὴν εἰρήνην σου * παρέσχες τῇ οἰκουμένῃ, * μόνε πολυέλεε.

Εἰς δὲ τὸν β΄, δ΄, πλ. β΄ καὶ πλ. δ΄ Ἦχον, ψάλλομεν τόδε τὸ ἕτερον Τροπάριον, εἰς Ἦχον β΄·

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· * ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου * καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· * καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, * τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Ἐν δὲ ταῖς ἡμέραις ἑορταζομέναις, ψάλλεται τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Μετὰ τοῦτο, λέγει ὁ Διάκονος τὴν Ἐκτενῆ, τῶν Χορῶν ψαλλόντων ἐναλλὰξ τὸ Κύριε, ἐλέησον, τρίς.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει (ἢ χώρᾳ) ταύτῃ (ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλ-

λιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνως ὁ Ἱερεύς·

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς μυστικῶς·

Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου· Ἅγιε Ἁγίων, ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς. Καὶ εἴ τι ἡμάρτομεν

ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Ἐκφώνως·

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καί, τοῦ Διακόνου ἐκφωνοῦντος· Σοφία. Εὐλόγησον, ὁ Ἱερεὺς ἔνδοθεν·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ λέγεται· Στερέωσαι, Χριστὲ ὁ Θεός, τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σὺν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ ( ἢ μονῇ ) εἰς αἰῶνας αἰώνων.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Χορός· Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Χορός· Δόξα. . . Καὶ νῦν. . . Κύριε, ἐλέησον, τρίς. Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ δὲ Ἱερεύς, χαλάσας τὸ Φελώνιον, ἱσταμένου τοῦ Διακόνου ἔξωθεν ἐκ δεξιῶν, καὶ τὸ Ὡράριον συνήθως κρατοῦντος, λέγει τὴν Ἀπόλυσιν.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΚΑΘΗΜΕΡΙΝΟΥ ΟΡΘΡΟΥ

Μετὰ τὸ Θεὸς Κύριος καὶ τὰ Τροπάρια, ἀναγινώσκεται τὸ τεταγμένον ψαλτήριον τῆς ἡμέρας. Εἶτα μικρὰ Συναπτὴ ὑπὸ τοῦ Ἱερέως, καὶ ἡ Ἐκφώνησις Ὅτι σὸν τὸ κράτος... Εἶτα ἀναγινώσκεται τὰ Καθίσματα τῆς ἡμέρας, καὶ ὁ πεντηκοστὸς Ψαλμός, χύμα, καὶ εὐθὺς οἱ Κανόνες. Ἀπὸ γ' Ὠδῆς, ὁ Ἱερεὺς λέγει τὴν μικρὰν Συναπτὴν καὶ τὴν Ἐκφώνησιν Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... Εἶτα τὸ Κάθισμα. Ἀφ' ἕκτης Ὠδῆς, πάλιν ὑπὸ τοῦ Ἱερέως μικρὰ Συναπτὴ καὶ ἡ Ἐκφώνησις Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης..., καὶ ἀναγινώσκεται τὸ Κοντάκιον καὶ ὁ Οἶκος, καὶ Ἀνάγνωσις εἰς τὸ Συναξάριον. Τῆς δὲ η' Ὠδῆς πληρωθείσης, ὁ Ἱερεὺς λέγει· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτός..., καὶ ψάλλεται ἡ θ' Ὠδή. Μετὰ τὴν θ' Ὠδήν, ὁ Ἱερεύς, ποιήσας αὖθις μικρὰν Συναπτήν, ἐκφωνεῖ· Ὅτι σὲ αἰνοῦσι... Εἶτα τὸ Ἐξαποστειλάριον.

Μετὰ τοὺς τρεῖς ψαλμοὺς τῶν Αἴνων, Δόξα... Καὶ νῦν... Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν..., καὶ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ..., καὶ τὸ Καταξίωσον, Κύριε. Τούτων δὲ πληρωθέντων, ὁ Ἱερεὺς λέγει· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ κ.τ.λ. καὶ τὴν Ἐκφώνησιν Ὅτι Θεὸς ἐλέους... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Καὶ ἀναγινώσκει μυστικῶς τὴν Εὐχὴν τῆς κεφαλοκλισίας μετὰ τῆς Ἐκφωνήσεως Σὸν γάρ ἐστι τὸ ἐλεεῖν... Εἶτα τὰ Ἀπόστιχα, τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ..., τὸ Τρισάγιον, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία..., τὰ Τροπάρια, ἡ Ἐκτενὴς Ἐλέησον ἡμᾶς..., ἡ Ἐκφώνησις Ὅτι ἐλεήμων... καὶ μετὰ τὴν Ἐκφώνησιν, λέγει ὁ Ἱερεύς· Σοφία. Ὁ Χορός· Εὐλόγησον. Ὁ Ἱερεύς· Ὁ ὢν εὐλογητός... Ὁ Χορός· Ἀμήν. Στερέωσαι... Ὁ Ἱερεύς· Ὑπεραγία Θεοτόκε... Ὁ Χορός· Τὴν τιμιωτέραν... Καὶ εὐθὺς ὁ Ἀναγνώστης λέγει τὴν πρώτην Ὥραν. Εἰς τὸ τέλος τῆς πρώτης Ὥρας, ὁ Ἱερεὺς ποιεῖ τὴν συνήθη Ἀπόλυσιν.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ
# ΕΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ
# ΤΕΣΣΑΡΑΚΟΣΤΗ

Μετὰ τὸν Ἑξάψαλμόν, λέγει ὁ Ἱερεὺς τὴν μεγάλην Συναπτὴν καὶ τὴν Ἐκφώνησιν **Ὅτι πρέπει σοι πᾶσα δόξα...** Ἀντὶ δὲ τοῦ **Θεὸς Κύριος,** ψάλλουσιν οἱ Χοροὶ τοὺς Στίχους· **Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου...,** ἐπιλέγοντες εἰς τὸ τέλος ἑκάστου Στίχου τὸ Ἀλληλούϊα, τρίς, καὶ εὐθὺς ψάλλομεν τοὺς Τριαδικοὺς Ὕμνους τοῦ τυχόντος Ἤχου, μεθ᾿ οὓς ἀναγινώσκεται τὸ ἐνδιάτακτον ψαλτήριον, καὶ τούτου πληρωθέντος, ποιεῖ ὁ Ἱερεὺς μικρὰν Συναπτὴν καὶ ἐκφωνεῖ· **Ὅτι σὸν τὸ κράτος...** Εἶτα ἀναγινώσκεται τὰ Καθίσματα, α' τοῦ τυχόντος Ἤχου, καὶ β' τοῦ Τριῳδίου τῆς ἡμέρας, καὶ ὁ πεντηκοστὸς Ψαλμός. Μετὰ τοῦτον, ὁ Ἱερεὺς λέγει τὸ **Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου..**

Εἶτα ἀναγινώσκονται αἱ ἐννέα Ὠδαί. Ἀντὶ δὲ τῆς ἐννάτης καταλιμπανομένης, ἀναγινώσκεται πᾶσα ἡ Προσευχὴ Ζαχαρίου **Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ...** Τῇ μὲν Δευτέρᾳ ἀναγινώσκεται ἡ πρώτη Ὠδή, τῇ δὲ Τρίτῃ ἡ δευτέρα Ὠδὴ ἅπασα, τῇ δὲ Τετάρτῃ ἡ τρίτη Ὠδή· τῇ δὲ Πέμπτῃ ἡ τετάρτη· τῇ δὲ Παρασκευῇ ἡ πέμπτη, τῷ Σαββάτῳ ἡ ἕκτη. Ἡ δὲ ὀγδόη καὶ ἡ Προσευχὴ τοῦ Ζαχαρίου ἀναγινώσκονται ὁλοσχερῶς καθ᾿ ἑκάστην· ἡ δὲ ἐννάτη Ὠδὴ ψάλλεται μετὰ τοὺς Κανόνας. Ἀναγινώσκονται δὲ Κανόνες τοῦ Μηναίου· ἐν αἷς δὲ Ὠδαῖς εἰσι Κανόνες τοῦ Τριῳδίου, ἐγκαταλείπονται αἱ Ὠδαὶ τοῦ Κανόνος τοῦ Μηναίου, καὶ ἀναγινώσκονται αἱ τοῦ Τριῳδίου.

Μετὰ δὲ τὴν τρίτην Ὠδήν, λέγει ὁ Ἱερεὺς τὴν μικρὰν Συναπτήν, καὶ ἡ Ἐκφώνησις **Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...** Εἶτα τὰ Καθίσματα τοῦ Μηναίου. Μετὰ δὲ τὴν ἕκτην Ὠδήν, αὖθις μικρὰ Συναπτὴ ὑπὸ τοῦ Ἱερέως, καὶ ἡ Ἐκφώνησις **Σὺ γὰρ εἶ ὁ βασιλεὺς**

τῆς εἰρήνης... Ἀντὶ δὲ Κοντακίου καὶ Οἴκου, ἀναγινώσκεται τὸ Μαρτυρικὸν τοῦ τυχόντος Ἤχου, καὶ τὸ Συναξάριον τῆς ἡμέρας. Εἶτα ἀναγινώσκονται αἱ λοιπαὶ Ὠδαὶ τοῦ Κανόνος, καὶ μετὰ τὴν ὀγδόην, ὁ Ἱερεὺς ἐκφωνεῖ· Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτός... καὶ φάλλουσιν ἐναλλὰξ οἱ Χοροὶ ἑξάκις τὸ Τὴν τιμιωτέραν τῶν Χερουβίμ, μετὰ τῶν Στίχων τῆς ἐννάτης Ὠδῆς. Εἶτα ὁ μὲν πρῶτος Χορὸς φάλλει τὸν Εἱρμὸν τῆς ἐννάτης Ὠδῆς τοῦ Τριῳδίου· ὁ δεύτερος Χορὸς τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς... Ὁ δὲ Ἱερεὺς λέγει τὴν μικρὰν Συναπτήν, καὶ τὴν Ἐκφώνησιν Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις...

Εἶτα ἀναγινώσκεται τρὶς τὸ Φωταγωγικὸν τοῦ Ἤχου καὶ εὐθὺς οἱ τρεῖς ψαλμοὶ τῶν Αἴνων, Δόξα... Καὶ νῦν... τὸ Σοὶ δόξα πρέπει, καὶ ἡ Δοξολογία, χύμα, ὡς ἐν τῷ καθημερινῷ Ὄρθρῳ. Μετὰ δὲ τὴν ὑπὸ τοῦ Ἱερέως Ἐκτενῆ Ἐλέησον ἡμᾶς..., τὸ Πληρώσωμεν τὴν ἑωθινήν..., τὴν Εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν Ἐκφώνησιν, φάλλουσιν οἱ Χοροὶ ἐκ τοῦ Τριῳδίου τὰ Ἀπόστιχα. Μετὰ τὸ Δόξα... Καὶ νῦν..., τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ... καὶ τὸ Τρισάγιον. Μετὰ τὸ Πάτερ ἡμῶν, ὁ Ἱερεὺς λέγει τὴν Ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Εἶτα ἀναγινώσκεται τὸ Τροπάριον Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου... τὸ Κύριε, ἐλέησον, μ΄, Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν τῶν Χερουβίμ... Πάτερ ἅγιε, εὐλόγησον.

Καὶ αὖθις ὁ Ἱερεύς·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ προϊστάμενος Ἱερεύς·

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ ἔθνη πράϋνον· τὸν κόσμον εἰρήνευσον· τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν) ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς

ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ καὶ ἐξομολογήσει παράλαβε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ μετὰ τὰς μετανοίας, ἀναγινώσκεται ἡ πρώτη Ὥρα, μεθ᾽ ἣν γίνεται ἡ συνήθης ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις.



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ
## ΕΝ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΚΥΡΙΑΚΗ
## ΤΟΥ ΠΑΣΧΑ

Περὶ ὥραν πέμπτην τῆς νυκτός, ἄρχεται Μεσονυκτικόν. Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Εἶτα· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε... Τὸ Τρισάγιον, καὶ μετὰ τὴν Ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία..., Κύριε, ἐλέησον, ιβʹ, Δόξα... Καὶ νῦν... Δεῦτε, προσκυνήσωμεν... τρίς, καὶ ὁ πεντηκοστὸς Ψαλμός, χύμα. Εἶτα ψάλλεται, μετὰ τοῦ Στίχου Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, ὁ Κανὼν τοῦ Μεγάλου Σαββάτου Κύματι θαλάσσης, εἰς στʹ, καὶ μεθ᾿ ἑκάστην Ὠδὴν ὁ Εἱρμός.

Εἰς τὴν τετάρτην Ὠδήν, ὁ Ἱερεὺς εἰσέρχεται εἰς τὸ ἱερὸν βῆμα καὶ ἐνδύεται ἅπασαν τὴν ἱερατικὴν στολήν.

Μετὰ τὴν ἐννάτην Ὠδὴν τοῦ Κανόνος, λέγεται ἔνδον τοῦ βήματος τὸ Τρισάγιον, τὸ Τροπάριον Ὅτε κατῆλθες πρὸς τὸν θάνατον... καὶ ἡ Ἐκτενής·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ μονὴν ) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι

πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον, μ'.

Ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ γίνεται Ἀπόλυσις.

Περὶ ὥραν Ὄρθρου σημαίνει πάντα τὰ σήμαντρα, καὶ ὁ Ἐκκλησιάρχης διανέμει τοῖς Ἀδελφοῖς τὰ κηρία.

---

Ἔν τισι μέρεσιν, εἴωθεν ὁ προεξάρχων Ἀρχιερεύς, κατὰ τὴν ὥραν ταύτην, ἱστάναι πρὸ τῆς Ὡραίας Πύλης, μετὰ δικηροτρικηρίου ἀνημμένου ἐκ τῆς ἀκοιμήτου κανδήλης, τῆς πρὸ τῆς ἁγίας Τραπέζης, καὶ προσκαλεῖν τὸν λαὸν ἵνα ἀνάψωσι τὰς λαμπάδας αὐτῶν, ψάλλων·

Δεῦτε, λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτός, καὶ δοξάσατε Χριστόν, τὸν ἀναστάντα ἐκ νεκρῶν.

---

Εἶτα, λαβόντων, τοῦ μὲν Ἱερέως τὸ ἅγιον Εὐαγγέλιον, τοῦ δὲ Διακόνου τὸ θυμιατήριον, καὶ λαμπάδων προπορευομένων αὐτῶν, ἀπερχόμεθα πάντες εἰς τὸν Νάρθηκα, κρατοῦντες τὰ κηρία ἡμμένα, καὶ ψάλλοντες·

Τὴν Ἀνάστασίν σου, Χριστὲ Σωτήρ, Ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς, καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν. Ὅπερ ἐπαναλαμβάνεται καὶ ὑπὸ τῶν Χορῶν, ἕως οὗ φθάσωσιν εἰς προσδιωρισμένην ἐξέδραν.

Καὶ ἐν μὲν τῷ Ναῷ ἐναπομείνας μόνος ὁ Κανδηλάπτης, ἅπτει τὰ κηρία πάντα καὶ τὰς κανδήλας· καὶ ποιήσας πυρεῖον, καὶ βαλὼν εἰς αὐτὸ θυμίαμα, τίθησιν αὐτὸ ἐν τῷ μέσῳ τοῦ Ναοῦ.

Ἐν δὲ τῷ Νάρθηκι, προευτρεπισμένου ὄντος τετραποδίου ἔμπροσθεν τῶν Βασιλικῶν Πυλῶν, καὶ τούτων κεκλεισμένων, ἀποτίθησιν ὁ Ἱερεὺς ἐπ᾽ αὐτοῦ τὸ ἱερὸν Εὐαγγέλιον. Τότε ὁ Διάκονος ἐκφωνεῖ·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον, τρίς.

Ὁ Διάκονος·

Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Μάρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ ὁ Ἱερεὺς ἀναγινώσκει τὸ β' Ἑωθινόν.

Μετὰ ταῦτα, λαβὼν εἰς χεῖρας τὸ θυμιατήριον, καὶ θυμιῶν τρὶς τὸ ἅγιον Εὐαγγέλιον, ὁ Ἱερεὺς ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ,

καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ Ἱερεὺς μεγαλοφώνως τοῦ παρόντος Τροπαρίου, εἰς Ἦχον πλ. α'.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Ψάλλεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ Ἱερέως, καὶ τρὶς ὑπὸ τῶν Χορῶν ἄνευ Στίχου. Εἶθ' οὕτω λέγει ὁ Ἱερεὺς τοὺς ἑπομένους Στίχους· καθ' ἕκαστον δὲ Στίχον, ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.

Στίχ. α'.

Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

Στίχ. β'.

Ὡς ἐκλείπει καπνός, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

Στίχ. γ'.

Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

Στίχ. δ'.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα...

Ὁ Χορός· Χριστὸς ἀνέστη...

Καὶ νῦν...

Ὁ Χορός· Χριστὸς ἀνέστη...

Εἶτα ὁ Ἱερεὺς γεγωνοτέρᾳ φωνῇ·

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας.

Ὁ Χορός· Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Καὶ ὁ Διάκονος λέγει Συναπτὴν μεγάλην ( Σελ. 57 ), μεθ' ἣν ἐκφωνεῖ ὁ Ἱερεύς·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

---

Ἔν τισι μέρεσιν εἴθισται προσθεῖναι τὴν Συναπτὴν τὰς ἐφεξῆς δεήσεις, μετὰ Ὑπὲρ πλεόντων...

Ὑπὲρ τοῦ χορηγῆσαι ἡμῖν Κύριον Ἰησοῦν Χριστὸν τὸν Σωτῆρα ἡμῶν τὴν νίκην ἐπὶ τὰς βουλὰς τῶν ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συνθλᾶσαι αὐτὸν ταχέως ὑπὸ τοὺς πόδας ἡμῶν τὸν ἄρχοντα τοῦ σκότους, καὶ πάσας τὰς δυνάμεις αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συναναστῆσαι αὐτὸν ἡμᾶς μετ' αὐτοῦ, καὶ συνεγεῖραι τῇ χάριτι αὐτοῦ, ἐκ σκότους τάφων τῶν ἁμαρτιῶν καὶ τῶν πταισμάτων ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐπιφῆναι αὐτὸν ἡμᾶς λαμπροὺς ἐν δόξῃ τῆς ἁγίας ἀναστάσεως αὐτοῦ, φαιδρουμένους ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς τοῦ εἰσελθεῖν χάριτος εἰς τὸν θεῖον νυμφῶνα αὐτοῦ ἀνέκφραστον, ἀγαλλιωμένους ἐν κοινωνίᾳ τῶν ἐπουρανίων αὐτοῦ οἰκετῶν, καὶ ταγμάτων τῶν ἁγίων τῶν ἀπολαυόντων

αὐτοῦ ἐν τῇ νικηφόρῳ ἐκκλησίᾳ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς...

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Τῆς παναγίας, ἀχράντου...

Ὁ Προεστὼς ἐκφώνως·

Ὅτι σὺ εἶ φωτισμὸς καὶ ἀνάστασις ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ εὐθὺς ὁ Προεστὼς ἔρχεται πρὸς τὰς τῆς ἐκκλησίας πύλας κεκλεισμένας, καὶ κρούει αὐτὰς σὺν τῷ σταυρῷ ὃν κρατεῖ ἐν χειρί, λέγων τοὺς ἐφεξῆς στίχους·

Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν· καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Ὁ Κανδηλάπτης ἀντιφωνεῖ ἔσωθεν τοῦ Ναοῦ· Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ Προεστὼς ἐπιλέγει·

Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν· καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Ὁ Κανδηλάπτης· Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ Προεστώς·

Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυ-

**νατὸς ἐν πολέμῳ. Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν· καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.**

Ὁ Κανδηλάπτης· Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;

Ὁ Προεστώς·

**Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης.**

Καὶ ἀνοιχθεισῶν τῶν πυλῶν, εἰσοδεύει ὅ τε Προεστὼς καὶ οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι, καὶ ὁ Λαός. Ὁ δὲ Προεστώς, ἐφεπόμενος μετὰ τῶν Ἀδελφῶν, ἄρχεται τοῦ Κανόνος. Ὁ δὲ Ἀρχιδιάκονος θυμιᾷ, εἰς τὴν ἔναρξιν τοῦ Κανόνος, κατὰ τὴν τάξιν.

---

Καὶ μετὰ τὴν Ἐκφώνησιν, ἀνοιχθεισῶν τῶν πυλῶν, εἰσοδεύει ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, προπορευομένων πάλιν τῶν λαμπάδων. Ὁ δὲ Προεστώς, ἐφεπόμενος μετὰ τῶν Ἀδελφῶν, ἄρχεται τοῦ Κανόνος·

Ὠδὴ πρώτη. Εἱρμός· Ἀναστάσεως ἡμέρα,* λαμπρυνθῶμεν λαοί·* Πάσχα Κυρίου, Πάσχα·* ἐκ γὰρ θανάτου πρὸς ζωήν,* καὶ ἐκ γῆς πρὸς οὐρανόν,* Χριστὸς ὁ Θεὸς* ἡμᾶς διεβίβασεν,* ἐπινίκιον ᾄδοντας.

Ψάλλονται δὲ οἱ μὲν Εἱρμοὶ ἀνὰ δύο, τὰ δὲ Τροπάρια εἰς ιβ΄, καὶ αὖθις ἔσχατον Καταβασίαι οἱ αὐτοὶ Εἱρμοὶ ὑπ᾽ ἀμφοτέρων τῶν Χορῶν. Πληρωθείσης δὲ τῆς Καταβασίας, οἱ Χοροὶ ψάλλουσι· Χριστὸς ἀνέστη ἐκ νεκρῶν... τρίς, καὶ τοῦτο τὸ Τροπάριον·

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Ποιεῖ δὲ τὴν ἔναρξιν τοῦ Κανόνος ἐξάπαντος ὁ Προεστώς, καὶ αὐτὸ τὸ δεξιὸν τοῦ Χοροῦ μέρος, εἰ καὶ τὸ ἀριστερὸν ἴσως λαγχάνῃ.

Ὁ δὲ Ἱερεὺς θυμιᾷ εἰς τὴν ἔναρξιν τοῦ Κανόνος.

Ἐν ἑκάστῃ Ὠδῇ, μετὰ τὴν Καταβασίαν, γίνεται παρὰ τοῦ Διακόνου, ἔξωθεν τοῦ βήματος, Συναπτὴ μικρά, καὶ μετ᾽ αὐτὴν παρὰ τοῦ Ἱερέως Ἐκφώνησις, ὡς σημειοῦται ἐν τοῖς ἑξῆς·

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ τρίτη. Εἱρμός· Δεῦτε, πόμα πίωμεν καινόν,* οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,* ἀλλ᾽ ἀφθαρσίας πηγὴν* ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,* ἐν ᾧ στερεούμεθα.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ τετάρτη. Εἱρμός· Ἐπὶ τῆς θείας φυλακῆς,* ὁ θεηγόρος Ἀββακοὺμ* στήτω μεθ᾽ ἡμῶν,* καὶ δεικνύτω* φαεσφόρον Ἄγγελον*, διαπρυσίως λέγοντα·* Σήμερον* σωτηρία τῷ κόσμῳ,* ὅτι ἀνέστη Χριστὸς* ὡς παντοδύναμος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ πέμπτη. Εἱρμός· Ὀρθρίσωμεν* ὄρθρου βαθέος,* καὶ ἀντὶ μύρου* τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ,* καὶ Χριστὸν ὀψόμεθα,* δικαιοσύνης Ἥλιον,* πᾶσι ζωὴν ἀνατέλλοντα.

Ἐκφώνησις·

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον

καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ ἕκτη. Εἱρμός· Κατῆλθες* ἐν τοῖς κατωτάτοις τῆς γῆς*, καὶ συνέτριψας μοχλοὺς* αἰωνίους, κατόχους* πεπεδημένων, Χριστέ,* καὶ τριήμερος,* ὡς ἐκ κήτους Ἰωνᾶς,* ἐξανέστης τοῦ τάφου.

Ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ ἑβδόμη. Εἱρμός· Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος,* γενόμενος ἄνθρωπος,* πάσχει ὡς θνητός,* καὶ διὰ πάθους τὸ θνητὸν* ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,* ὁ μόνος εὐλογητὸς* τῶν Πατέρων Θεὸς* καὶ ὑπερένδοξος.

Ἐκφώνησις·

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὠδὴ ὀγδόη. Εἱρμός· Αὕτη* ἡ κλητὴ καὶ ἁγία ἡμέρα,* ἡ μία τῶν Σαββάτων,* ἡ βασιλὶς καὶ κυρία,* ἑορτῶν ἑορτή,* καὶ πανήγυρίς ἐστι πανηγύρεων,* ἐν ᾗ εὐλογοῦμεν Χριστὸν* εἰς τοὺς αἰῶνας.

Ἐκφώνησις·

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός,

**καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὠδὴ ἐννάτη. Εἱρμός· Φωτίζου, φωτίζου,* ἡ νέα Ἱερουσαλήμ·* ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε.* Χόρευε νῦν καὶ ἀγάλλου, Σιών·* σὺ δὲ ἁγνή,* τέρπου, Θεοτόκε,* ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ἐκφώνησις·

**Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Εἰς τοὺς Αἴνους, μετὰ τὸ Πᾶσα πνοή, οὐ ψάλλονται οἱ Ψαλμοί, ἀλλ᾽ εὐθὺς Στιχηρὰ Ἀναστάσιμα δ΄, καὶ τοῦ Πάσχα δ΄, Δόξα... Καὶ νῦν... Εἶτα τὸ Χριστὸς ἀνέστη..., τρίς. Καὶ ψάλλομεν τοῦτο πολλάκις, ἄχρις ἂν ἀσπάσωνται οἱ Ἀδελφοὶ ἀλλήλους.

Ὁ δὲ Ἀσπασμὸς γίνεται οὕτω· λαμβάνει ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται πρὸ τῶν θυρῶν τοῦ βήματος· ὁ δὲ Προεστὼς ἢ ὁ Καθηγούμενος ἐλθών, καὶ ἀσπασάμενος τὸ ἅγιον Εὐαγγέλιον καὶ τὸν Ἱερέα, λαμβάνει αὐτὸ ἐκ τῶν χειρῶν αὐτοῦ, λέγων· Χριστὸς ἀνέστη· τοῦ Ἱερέως ἀνταποκρινομένου· Ἀληθῶς ἀνέστη, καὶ ἵσταται ἐκ δεξιῶν τοῦ Ἱερέως. Εἶτα οἱ Ἀδελφοὶ πάντες, κατὰ τὴν τάξιν αὐτῶν, ἀσπάζονται πρῶτον τὸ ἅγιον Εὐαγγέλιον, εἶτα τὸν Ἱερέα καὶ τὸν Προεστῶτα, καὶ ἵστανται κἀκεῖνοι ἔνθα ἂν τύχωσι, καὶ ἀσπάζονται ἀλλήλους.

Μετὰ γοῦν τὸν Ἀσπασμόν, ἀναγινώσκεται ὁ κατηχητικὸς λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ Προεστῶτος, ἢ παρὰ τοῦ Ἡγουμένου, ἢ παρὰ τοῦ Ἐκκλησιάρχου· ἵστανται δὲ οἱ Ἀδελφοὶ ἅπαντες, καὶ ἐπακροῶνται τῆς ἀναγνώσεως.

## Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου

## Λόγος Κατηχητικὸς εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον Ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω ταύτης τῆς καλῆς καὶ φαιδρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ

τούτῳ χαρίζεται. Καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται· καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ᾽ ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥᾴθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ Βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ Σωτῆρος ὁ θάνατος. Ἔσβεσεν αὐτόν, ὑπ᾽ αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν Ἅδην, ὁ κατελθὼν εἰς τὸν Ἅδην. Ἐπίκρανεν αὐτόν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας, ἐβόησεν· Ὁ Ἅδης, φησίν, ἐπικράνθη, συναντήσας σοι κάτω. Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, Ἅδη, τὸ νῖκος; Ἀνέστη Χριστός, καὶ

σὺ καταβέβλησαι. Ἀνέστη Χριστός, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστός, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστός, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστός, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλεται τὸ παρὸν Τροπάριον τοῦ Ἁγίου· Ἦχος πλ. δ΄.

Ἡ τοῦ στόματός σου* καθάπερ πυρσὸς* ἐκλάμψασα χάρις,* τὴν οἰκουμένην ἐφώτισεν·* ἀφιλαργυρίας τῷ κόσμῳ* θησαυροὺς ἐναπέθετο,* τὸ ὕψος ἡμῖν* τῆς ταπεινοφροσύνης ὑπέδειξεν.* Ἀλλὰ σοῖς λόγοις παιδεύων,* Πάτερ Ἰωάννη Χρυσόστομε,* πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ,* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τότε ὁ Διάκονος ἢ ὁ Ἱερεύς, λέγει τὴν Ἐκτενῆ· Ἐλέησον ἡμᾶς, ὁ Θεός... καὶ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν... Καὶ μετὰ τὴν Ἐκφώνησιν, ὁ Διάκονος· Σοφία. Εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ λέγεται· Στερέωσαι, Χριστὲ ὁ Θεός, τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σὺν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ (ἢ μονῇ) εἰς αἰῶνας αἰώνων.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Χορός· Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ εὐθὺς ὁ Ἱερεὺς λέγει τὴν Ἀπόλυσιν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, θανάτῳ τὸν θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρὸς καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ μετὰ τὴν Ἀπόλυσιν, ὁ Ἱερεύς, ὑφῶν τὸν σταυρόν, ἐκφωνεῖ τὸ τελευταῖον· Χριστὸς ἀνέστη, τρίς· καὶ ἡμῶν ἀποκρινομένων ὡσαύτως τρίς· Ἀληθῶς ἀνέστη, ὁ Ἱερεὺς ἐπιλέγει· Δόξα τῇ αὐτοῦ ἁγίᾳ καὶ τριημέρῳ ἐγέρσει. Ἡμεῖς δέ· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν.



# ΔΙΑΤΑΞΙΣ
# ΤΗΣ ΘΕΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Μέλλων ὁ Ἱερεὺς τὴν θείαν ἐπιτελεῖν Μυσταγωγίαν, ὀφείλει προηγουμένως εἶναι κατηλλαγμένος μετὰ πάντων, καὶ μὴ ἔχειν τι κατά τινος, καὶ τὴν καρδίαν δέ, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε ἀφ᾽ ἑσπέρας, καὶ ἐγρηγορηκὼς διάγειν μέχρι τοῦ τῆς Ἱερουργίας καιροῦ.

Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ Προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ, καὶ ἑνωθεὶς τῷ Διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία.

Εἶτα λέγει ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Βασιλεῦ οὐράνιε,* Παράκλητε,* τὸ Πνεῦμα τῆς ἀληθείας,* ὁ πανταχοῦ παρών,* καὶ τὰ πάντα πληρῶν,* ὁ θησαυρὸς τῶν ἀγαθῶν* καὶ ζωῆς

χορηγός,* ἐλθὲ* καὶ σκήνωσον ἐν ἡμῖν,* καὶ καθάρισον ἡμᾶς* ἀπὸ πάσης κηλῖδος,* καὶ σῶσον,* Ἀγαθέ,* τὰς ψυχὰς ἡμῶν.

Ὁ δὲ Διάκονος λέγει τὸ Τρισάγιον·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Καὶ πάλιν· Δόξα Πατρί... ἕως τέλους. Εἶτα·

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν.

Εἶτα λέγουσι·

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς·* πάσης

γὰρ ἀπολογίας ἀποροῦντες,* ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοὶ προσφέρομεν·* ἐλέησον ἡμᾶς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Κύριε ἐλέησον ἡμᾶς·* ἐπὶ σοὶ γὰρ πεποίθαμεν·* μὴ ὀργισθῇς ἡμῖν σφόδρα,* μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν·* ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος,* καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν·* σὺ γὰρ εἶ Θεὸς ἡμῶν,* καὶ ἡμεῖς λαός σου·* πάντες ἔργα χειρῶν σου,* καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην* ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε·* ἐλπίζοντες εἰς σέ,* μὴ ἀστοχήσωμεν·* ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων·* σὺ γὰρ εἶ ἡ σωτηρία* τοῦ γένους τῶν χριστιανῶν.

Ἔπειτα ἀπέρχονται εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ, καὶ προσκυνοῦσι, λέγοντες·

Τὴν ἄχραντον εἰκόνα σου* προσκυνοῦμεν, Ἀγαθέ,* αἰτούμενοι συγχώρησιν* τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός·* βουλήσει γὰρ ηὐδόκησας* σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ,* ἵνα ῥύσῃ οὓς ἔπλασας* ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ·* ὅθεν εὐχαρίστως βοῶμέν σοι·* χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν,* παραγενόμενος* εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ ἀσπάζονται τὴν εἰκόνα τοῦ Χριστοῦ.

Εἶτα ἀπέρχονται εἰς τὴν εἰκόνα τῆς Θεοτόκου, λέγοντες τὸ Τροπάριον·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή,* συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε·* βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα·* δεῖξον, ὡς ἀεί, τὴν δυναστείαν σου·* εἰς σὲ

γὰρ ἐλπίζοντες,* τὸ Χαῖρε βοῶμέν σοι,* ὥς ποτε ὁ Γαβριήλ,* ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Καὶ ἀσπάζονται τὴν εἰκόνα τῆς Θεοτόκου.

Εἶτα κλίνουσι τὴν κεφαλήν, καὶ λέγει ὁ Ἱερεὺς ταύτην τὴν Εὐχήν·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔπειτα ποιοῦσι ἔμπροσθεν τῶν ἁγίων Θυρῶν προσκυνήματα τρία, καὶ εἰς τοὺς Χοροὺς προσκυνήματα, ἀνὰ ἕν. Καὶ οὕτως ἀπέρχονται εἰς τὸ Θυσιαστήριον, ὁ μὲν Ἱερεὺς διὰ τοῦ βορείου, ὁ δὲ Διάκονος διὰ τοῦ νοτίου μέρους, λέγοντες·

Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς Ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Ἐλθόντες δὲ εἰς τὸ Ἱερατεῖον, ποιοῦσι προσκυνήματα γ΄, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον, καὶ τὴν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσι ἐν ταῖς χερσὶν αὐτῶν, ἕκαστος τὸ Στιχάριον αὐτοῦ, καὶ ποιοῦσι προσκυνήματα τρία, πρὸς ἀνατολάς, λέγοντες καθ᾿ ἑαυτὸν ἕκαστος τὸ

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα προσέρχεται τῷ Ἱερεῖ ὁ Διάκονος, κρατῶν ἐν τῇ δεξιᾷ χειρὶ τὸ Στιχάριον σὺν τῷ Ὡραρίῳ, καὶ ὑποκλίνας τὴν ἑαυτοῦ κεφαλήν, λέγει·

Εὐλόγησον, δέσποτα, τὸ Στιχάριον σὺν τῷ Ὡραρίῳ.

Ὁ Ἱερεὺς σφραγίσας αὐτά, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν. Καὶ ἀσπάζεται τὴν δεξιὰν τοῦ Ἱερέως. Εἶτα ὑποχωρεῖ καθ᾽ ἑαυτὸν εἰς ἓν μέρος τοῦ Ἱερατείου καὶ ἀσπασάμενος τὸ Στιχάριον, ἐνδύεται αὐτό, εὐχόμενος οὕτως·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Καὶ τὸ μὲν Ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ, μηδὲν λέγων.

Τὰ δὲ Ἐπιμανίκια ἐπιθέμενος ταῖς χερσίν, ἐν μὲν τῷ δεξιῷ, λέγει·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἶτα ἀπελθὼν εἰς τὴν Πρόθεσιν, εὐτρεπίζει τὰ ἱερά· τὸν μὲν ἅγιον Δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ Ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

Ὁ δὲ Ἱερεὺς οὕτως ἐνδύεται. Λαβὼν τὸ Στιχάριον ἐν τῇ ἀριστερᾷ χειρί, καί, ὡς εἴρηται, προσκυνήσας τρὶς κατ᾽ ἀνατολάς, σφραγίζει αὐτό, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐνδύεται αὐτὸ λέγων·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα

εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Εἶτα λαβὼν τὸ Ἐπιτραχήλιον, καὶ σφραγίσας καὶ ἀσπασάμενος, περιτίθεται αὐτό, λέγων·

Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν ἐπὶ τοὺς Ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τοῦτο, λαβὼν τὴν Ζώνην, καὶ σφραγίσας αὐτήν, λέγει περιζωννύμενος·

Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὰ δὲ Ἐπιμανίκια σφραγίσας καὶ ἀσπασάμενος, ἑκάτερον ἐπιτίθησι ταῖς χερσί, λέγων, ἐν μὲν τῷ δεξιῷ·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Εἶτα λαβὼν τὸ Ὑπογονάτιον, εἴπερ ἔχει ἐκκλησιαστικὸν ἀξίωμα, καὶ εὐλογήσας καὶ ἀσπασάμενος, ἐπιτίθησιν αὐτό, λέγων·

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν

σου, Δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει τὸ Φελώνιον καὶ εὐλογήσας καὶ ἀσπασάμενος, ἐνδύεται αὐτό, λέγων·

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ ταῦτα, ἀπελθόντες εἰς τὸν Νιπτῆρα, νίπτουσι τὰς χεῖρας, λέγοντες·

Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ Θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Καὶ οὕτως ἀπέρχονται εἰς τὴν Πρόθεσιν. Εἶτα προσκυνήματα τρία, ἔμπροσθεν τῆς Προθέσεως, ποιήσαντες, λέγουσιν ἕκαστος τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με.

Καὶ λέγει ὁ Ἱερεύς·

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλω-

θείς, καὶ τῇ Λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι.

Εἶτα λέγει ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Καὶ ὁ Ἱερεὺς ποιεῖ Εὐλογητόν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τοῦτο, λαμβάνει ὁ Ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν Προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν Λόγχην, καὶ σφραγίζων μετ᾿ αὐτῆς τρὶς ἐπάνω τῆς σφραγῖδος τῆς Προσφορᾶς, λέγει·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Τρίς.

Καὶ εὐθὺς πήγνυσι τὴν Λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ λέγει, ἀνατέμνων·

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.

Ἐν δὲ τῷ ἀριστερῷ·

Καὶ ὡς ἀμνὸς ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Ἐν δὲ τῷ κάτω·

Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ Διάκονος, ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ, κρατῶν καὶ τὸ Ὡράριον ἐν τῇ χειρί, λέγει καθ᾿ ἑκάστην ἀνατομήν· Τοῦ Κυρίου δεηθῶμεν.

Μετὰ ταῦτα λέγει· Ἔπαρον, δέσποτα.

Καὶ ὁ Ἱερεύς, ἐμβαλὼν τὴν ἁγίαν Λόγχην ἐκ πλαγίου τοῦ

δεξιοῦ μέρους τῆς Προσφορᾶς, ἐπαίρει τὸν ἅγιον Ἄρτον, λέγων·

Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

Καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ Δίσκῳ, εἰπόντος τοῦ Διακόνου Θῦσον, δέσποτα, θύει αὐτὸν σταυροειδῶς, οὕτω λέγων·

Θύεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.

Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν Σταυρόν. Καὶ τοῦ Διακόνου εἰπόντος Νύξον, δέσποτα, νύττει ἀμέσως ὑπὸ τοῦ ὀνόματος IC, λέγων·

Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε· καὶ εὐθέως ἐξῆλθεν αἷμα, καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δὲ Διάκονος ἐγχέει τῷ ἁγίῳ Ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος, εἰπὼν πρότερον πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ἕνωσιν.

Καὶ εὐλογεῖ αὐτὰ ὁ Ἱερεύς, λέγων·

Εὐλογημένη ἡ ἕνωσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λαβὼν ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφοράν, λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον.

Καὶ αἴρων μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, λέγων·

Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Εἶτα λαβὼν τρίτην προσφοράν, καὶ αἴρων ἐξ αὐτῆς πρώτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου Ἄρτου, πλησίον τῆς μέσης αὐτοῦ, ποιῶν ἀρχὴν τῆς πρώτης τάξεως, καὶ λέγει·

Εἰς τιμὴν καὶ μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων Ἀσωμάτων.

Καὶ αἴρει δευτέραν μερίδα, λέγων·

Τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων Προφητῶν, Μωσέως καὶ Ἀαρών, Ἠλιοῦ καὶ Ἐλισσαίου, Δαβὶδ τοῦ Ἰεσσαί, τῶν ἁγίων τριῶν Παίδων καὶ Δανιὴλ τοῦ Προφήτου, καὶ πάντων τῶν ἁγίων Προφητῶν.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης εὐτάκτως.

Εἶτα αἴρων τρίτην μερίδα, λέγει·

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου, καὶ πάντων τῶν ἁγίων Ἀποστόλων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας, τελειῶν τὴν πρώτην τάξιν.

Καὶ αἴρει τετάρτην μερίδα, λέγων·

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις, καὶ πάντων τῶν ἁγίων Ἱεραρχῶν.

Καὶ τίθησιν αὐτὴν πλησίον τῆς πρώτης μερίδος, ποιῶν ἀρχὴν τῆς δευτέρας τάξεως.

Εἶτα αἴρων πέμπτην μερίδα, λέγει·

Τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων μεγάλων Μαρτύρων Δημητρίου, Γεωργίου, Θεοδώρου, καὶ πάντων καὶ πασῶν τῶν ἁγίων Μαρτύρων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης τῆς δευτέρας τάξεως.

Ἔπειτα αἴρει ἕκτην μερίδα, λέγων·

Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, καὶ πάντων καὶ πασῶν τῶν Ὁσίων.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς δευτέρας μερίδος, εἰς ἀναπλήρωσιν τῆς δευτέρας τάξεως.

Μετὰ δὲ ταῦτα, αἴρων ἑβδόμην μερίδα, λέγει·

Τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, καὶ πάντων τῶν ἁγίων Ἀναργύρων.

Καὶ τίθησιν αὐτὴν ἄνω, πλησίον τῆς τετάρτης μερίδος, ποιῶν ἀρχὴν τῆς τρίτης τάξεως.

Εἶτ᾽ αὖθις αἴρει ὀγδόην μερίδα, λέγων·

Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἐκκλησίας ἢ τῆς μονῆς, καὶ τοῦ Ἁγίου τῆς ἡμέρας), καὶ πάντων τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τῆς πρώτης τῆς τρίτης τάξεως.

Καὶ τοῦτο ποιήσας, αἴρει τὴν ἐννάτην μερίδα, λέγων·

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου ( εἴπερ λέγεται ἡ Λειτουργία αὐτοῦ· εἰ δὲ λέγεται ἡ τοῦ Μεγάλου Βασιλείου, τούτου μνημονεύει· Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου ).

Καὶ τίθησιν αὐτὴν ἐν τῷ τέλει τῆς τρίτης τάξεως εἰς ἀναπλήρωσιν.

Εἶτα λαμβάνει ἑτέραν προσφοράν, καὶ αἴρων μερίδα, λέγει·

Μνήσθητι, Δέσποτα φιλάνθρωπε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τοῦ Πατριάρχου, ( ἢ Μητροπολίτου, ἢ Ἀρχιεπισκόπου, ἢ Ἐπισκόπου ) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, ( ἐν τοῖς μοναστηρίοις· τοῦ δεῖνος Καθηγουμένου, ) καὶ τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, Πρεσβυτέρων, Διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα.

Καὶ τίθησιν αὐτὴν ὑποκάτω τοῦ ἁγίου Ἄρτου.

Εἶτα μνημονεύει καὶ ὧν ἔχει ζώντων κατ᾽ ὄνομα, καὶ καθ᾽ ἕκαστον ὄνομα αἴρει μερίδα, λέγων· Μνήσθητι, Κύριε, τοῦ δεῖνος. Καὶ οὕτως αἴρων τὰς μερίδας, τίθησιν αὐτὰς ὑποκάτω.

Ἔπειτα λαβὼν ἑτέραν προσφοράν, αἴρει μερίδα, λέγων·

Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν

τῶν μακαρίων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης.

Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, καὶ ἑτέρων ὧν θέλει κεκοιμημένων κατ᾿ ὄνομα. Καθ᾿ ἕκαστον ὄνομα αἴρει μερίδα, λέγων· Μνήσθητι, Κύριε, τοῦ δεῖνος. Καὶ τελευταῖον, αἴρων μερίδα, ἐπιλέγει οὕτω·

Καὶ πάντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων, πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε.

Ὁ δὲ Διάκονος, λαβὼν καὶ αὐτὸς σφραγῖδα καὶ τὴν ἁγίαν Λόγχην, μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Τελευταῖον δὲ, αἴρει ὁ Ἱερεὺς μερίδα, λέγων·

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος· καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ δὲ Διάκονος, λαβὼν τὴν μοῦσαν, συστέλλει τὰς ἐν τῷ Δίσκῳ μερίδας, ὑποκάτω τοῦ ἁγίου Ἄρτου, ὥστε εἶναι ἐν ἀσφαλείᾳ, καὶ μὴ ἐκπεσεῖν τι.

Εἶτα ὁ Διάκονος, λαβὼν τὸ Θυμιατήριον, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεύς, εὐλογῶν, λέγει τὴν Εὐχὴν τοῦ θυμιάματος.

Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καὶ θυμιάσαντος τοῦ Διακόνου τὸν Ἀστερίσκον, ὁ Ἱερεὺς τίθησιν αὐτὸν ἐπάνω τοῦ ἁγίου Ἄρτου, λέγων·

Καὶ ἐλθὼν ὁ Ἀστήρ, ἔστη ἐπάνω, οὗ ἦν τὸ Παιδίον.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ πρῶτον Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸν ἅγιον Ἄρτον σὺν τῷ Δίσκῳ, λέγων·

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν, καὶ περιεζώσατο.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ δεύτερον Κάλυμμα, ὁ Ἱερεὺς σκεπάζει τὸ ἅγιον Ποτήριον, λέγων·

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα.

Καὶ τοῦ Διακόνου θυμιῶντος τὸ τρίτον Κάλυμμα, ἤτοι τὸν Ἀέρα, ὁ Ἱερεὺς σκεπάζει καὶ ἀμφότερα, λέγων·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸν Θυμιατόν, θυμιᾷ τρὶς τὴν Πρόθεσιν, λέγων·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Ὁ δὲ Διάκονος ἐν ἑκάστῃ λέγει·

Πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀμφότεροι προσκυνοῦσιν εὐλαβῶς τρίς.

Ἔπειτα λαβὼν ὁ Διάκονος τὸν Θυμιατόν, λέγει·

Ἐπὶ τῇ Προθέσει τῶν τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς λέγει τὴν Εὐχὴν τῆς Προθέσεως·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον Ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, Σωτῆρα καὶ Λυτρωτὴν καὶ Εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι᾽ οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τοῦτο ποιεῖ Ἀπόλυσιν, λέγων·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα, εὐλόγησον.

Ὁ Ἱερεύς·

Εἰ μὲν ἔστι Κυριακή· Ὁ ἀναστὰς ἐκ νεκρῶν,. . .

Εἰ δὲ μή·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, (εἰ δὲ τελεῖται ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου, λέγει· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, τοῦ Μεγάλου), καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ Διάκονος·

Ἀμήν.

Μετὰ δὲ τὴν Ἀπόλυσιν, ὁ Διάκονος, χαράξας Σταυρόν, θυμιᾷ Πρόθεσιν. Εἶτα ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν Τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ' ἑαυτόν·

Ἐν τάφῳ σωματικῶς,* ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός,* ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ,* καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ,* μετὰ Πατρὸς καὶ Πνεύματος,* πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Καὶ λέγει τὸν Ν΄ Ψαλμόν, ἐν ᾧ καὶ θυμιάσας τό τε Ἱερατεῖον, καὶ τὰς ἁγίας Εἰκόνας καὶ τὸν Ναὸν ὅλον, εἰσέρχεται αὖθις εἰς τὸ ἅγιον Βῆμα· καὶ θυμιάσας τὴν ἁγίαν Τράπεζαν αὖθις καὶ

τὸν Ἱερέα, τὸ Θυμιατήριον ἀποτίθησιν ἐν τῷ ἰδίῳ τόπῳ. Εἶτα προσέρχεται τῷ Ἱερεῖ.

Καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας Τραπέζης, προσκυνοῦσι τρίς, καθ᾽ ἑαυτοὺς εὐχόμενοι, καὶ λέγοντες·

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Εἶτα·

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Δίς.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ἅπαξ.

Εἶτα ἀσπάζονται, ὁ μὲν Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, ὁ δὲ Διάκονος τὴν ἁγίαν Τράπεζαν.

Καὶ μετὰ τοῦτο, ὑποκλίνας ὁ Διάκονος τὴν ἑαυτοῦ κεφαλὴν τῷ Ἱερεῖ, κρατῶν καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει·

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα, εὐλόγησον.

Καὶ ὁ Ἱερεύς, σφραγίζων αὐτόν, λέγει·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

Ὁ δὲ Ἱερεύς·

Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Καὶ πάλιν ὁ Διάκονος·

Μνήσθητί μου, δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Διάκονος, εἰπὼν Ἀμήν, ἀσπάζεται τὴν δεξιὰν τοῦ Ἱερέως, καὶ προσκυνήσας, ἐξέρχεται διὰ τοῦ βορείου μέρους, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, κατέναντι τῶν ἁγίων Θυρῶν, προσκυνεῖ μετ᾽ εὐλαβείας τρίς, λέγων καθ᾽ ἑαυτόν·

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Καὶ μετὰ τοῦτο, ἄρχεται λέγειν·

Εὐλόγησον, δέσποτα.

Καὶ ἄρχεται ὁ Ἱερεύς·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...

---

Ἰστέον ὅτι ἐὰν ὁ Ἱερεὺς λειτουργῇ μόνος ἄνευ Διακόνου, ἐν τῇ Προθέσει καὶ ἐν αὐτῇ τῇ Λειτουργίᾳ, οὐκ ἐπιλέγει τὰ τοῦ Διακόνου ῥήματα, ὡς τὸ Εὐλόγησον, δέσποτα... Νύξον, δέσποτα, Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ... Μνήσθητί μου, δέσποτα, κ. τ. λ., ἀλλὰ μόνον ἐν τῇ Λειτουργίᾳ τὸ Τοῦ Κυρίου δεηθῶμεν.

Ἐὰν συλλειτουργῶσι πολλοὶ Ἱερεῖς, εἷς μὲν ἐξ αὐτῶν μόνος ποιεῖ τὴν Προσκομιδήν· ἄλλοι δὲ οὐδὲν ἐξ αὐτῆς λέγουσιν, οὐδὲ τὴν Εὐχὴν τῆς Προθέσεως· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν...

Σημείωσαι θάτερον τοῦτο ὅτι, ἐὰν μέλλῃ λειτουργῆσαι Ἀρχιερεύς, ὁ Ἱερεὺς οὐ τελειοῖ τὴν Πρόθεσιν, ἀλλὰ μετὰ τὴν ἐξαγωγὴν τῶν μερίδων τῆς Θεοτόκου καὶ τῶν Ἁγίων, καλύπτει τὸν ἅγιον Δίσκον καὶ τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Ἀέρος, μηδὲν λέγων. Τὰ δὲ λοιπὰ λέγει ὁ ἱερουργῶν Ἀρχιερεύς, ὃς ἀποτελειοῖ τὴν Πρόθεσιν, ψαλλομένου τοῦ Χερουβικοῦ Ὕμνου, πρὸ τῆς Μεγάλης Εἰσόδου.

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς, ἐκφώνως, ὑφῶν ἅμα τὸ ἅγιον Εὐαγγέλιον, καὶ ποιῶν δι᾽ αὐτοῦ τύπον σταυροῦ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Διάκονος λέγει τὰ Εἰρηνικά, φαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν (ἢ τῶν ἀρχόντων ἡμῶν), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ (ἢ αὐτῶν), τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ τοῦ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτοῦ (ἢ αὐτῶν) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου α'. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκα-

στον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾿ ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾿ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται παρὰ τῶν Ψαλτῶν τὸ πρῶτον Ἀντίφωνον, ἢ ὁ α´ ψαλμὸς τῶν Τυπικῶν, κατὰ τὴν τυπικὴν διάταξιν· ὧν ψαλλομένων, ὁ Διάκονος] προσκυνήσας, μεθίσταται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἵσταται ἐνώπιον τῆς Εἰκόνος τῆς Θεοτόκου, βλέπων πρὸς τὴν τοῦ Χριστοῦ Εἰκόνα, κρατῶν καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Ἀντιφώνου, ἐλθὼν ὁ Διάκονος, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ καὶ προσκυνήσας, λέγει·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου β΄. Μυστικῶς.

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται ὁμοίως παρὰ τῶν Ψαλτῶν τὸ β΄ Ἀντίφωνον ἢ ὁ β΄ ψαλμὸς τῶν Τυπικῶν· ὁ δὲ Διάκονος ὁμοίως ποιεῖ, ὡς καὶ ἐν τῷ προτέρῳ Ἀντιφώνῳ.

Καὶ εἰς τὸ τέλος τοῦ Ἀντιφώνου, ἢ τοῦ ψαλμοῦ τῶν Τυπικῶν, ἐπισυνάπτεται τὸ

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Ὕμνου Ὁ μονογενής, λέγει ὁ Διάκονος τὴν μικρὰν συναπτήν·

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ εἰσέρχεται ὁ Διάκονος εἰς τὸ ἱερὸν Βῆμα διὰ τοῦ νοτίου μέρους.

Εὐχὴ Ἀντιφώνου γ΄. Μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ψαλλομένου δὲ παρὰ τῶν Ψαλτῶν τοῦ τρίτου Ἀντιφώνου ἢ τῶν Μακαρισμῶν, ὅταν ἔλθωσιν εἰς τὸ Δόξα, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, στάντες ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ποιοῦσι προσκυνήματα τρία. Καὶ ἀνοίγονται αἱ ἅγιαι Θύραι.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, δίδωσιν αὐτὸ τῷ Διακόνῳ. Καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, ποιοῦσι τὴν μικρὰν Εἴσοδον.

Καὶ στάντες ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τῆς Εἰσόδου. Μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς Εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, δεικνύων πρὸς ἀνατολὰς τῇ δεξιᾷ, κρατῶν ἅμα καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει μυστικῶς·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶθ' οὕτως ὁ Διάκονος προσφέρει τῷ Ἱερεῖ τὸ Εὐαγγέλιον, καὶ ἀσπάζεται τοῦτο ὁ Ἱερεύς, τοῦ δὲ Διακόνου ἅμα ἀσπαζομένου τὴν δεξιὰν τοῦ Ἱερέως.

Πληρωθέντος δὲ τοῦ Δοξαστικοῦ τῶν Μακαρισμῶν, ἢ τοῦ τρίτου Ἀντιφώνου, ἔρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ Ἱερέως, ἀνυψοῖ μικρὸν τὰς χεῖρας, δεικνύων τὸ ἅγιον Εὐαγγέλιον, καὶ ποιῶν δι' αὐτοῦ τύπον σταυροῦ, λέγει μεγαλοφώνως·

Σοφία· ὀρθοί.

Καὶ ψάλλεται τὸ Εἰσοδικόν·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰ δ᾽ ἔστι Κυριακή, λέγεται·

... ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐν ταῖς Δεσποτικαῖς Ἑορταῖς, ψάλλεται τὸ Εἰσοδικὸν τῆς Ἑορτῆς.

Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ Ἱερεὺς κατόπισθεν αὐτοῦ, εἰσέρχονται εἰς τὸ ἅγιον Βῆμα διὰ τῶν Πυλῶν Βασιλικῶν, καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐπὶ τῆς ἁγίας Τραπέζης.

Οἱ δὲ Ψάλται λέγουσι τὰ συνήθη τροπάρια.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου. Μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾽ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι

καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Καὶ ὅταν ἔλθωσιν εἰς τὸ ὕστερον Τροπάριον, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα, κλίνων ἅμα τὴν κεφαλήν, κρατῶν καὶ τὸ Ὠράριον ἐν τῇ χειρὶ τοῖς τρισὶ δακτύλοις·

Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου.

Καὶ ὁ Ἱερεύς, σφραγίζων αὐτόν, ἐκφωνεῖ·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί.

Καὶ ἔρχεται ὁ Διάκονος ἐγγὺς τῶν ἁγίων Θυρῶν, καὶ ἐπάγει, λέγων πρὸς τοὺς ἐκτὸς μεγαλοφώνως·

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ ψάλλεται τὸ Τρισάγιον·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ πάλιν·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

---

Ἐν τισιν Ἑορταῖς, ἀντὶ τοῦ Τρισαγίου ψάλλεται·

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Τῇ δὲ τρίτῃ Κυριακῇ τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς, ἐν τῇ Ἑορτῇ τῆς παγκοσμίου Ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ψάλλεται·

Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

---

Ψαλλομένου δὲ τοῦ Τρισαγίου, λέγουσι καὶ αὐτοί, ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, τὸ Τρισάγιον, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται εἰς τὴν Καθέδραν. Καὶ ὁ Ἱερεὺς λέγει ἀπερχόμενος·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὴν ἄνω Καθέδραν.

Καὶ ὁ Ἱερεύς·

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ Τρισαγίου, ὁ Διάκονος, ἐλθὼν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, λέγει·

Πρόσχωμεν.

Καὶ ὁ Ἀναγνώστης ἀπαγγέλλει τοὺς στίχους τοῦ Προκειμένου.

Καὶ ὁ Διάκονος αὖθις·

Σοφία.

Καὶ ὁ Ἀναγνώστης λέγει τὴν ἐπιγραφὴν τοῦ Ἀποστόλου.

Καὶ αὖθις ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Τοῦ δὲ Ἀλληλούϊα ψαλλομένου μετὰ τῶν στίχων παρὰ τοῦ Ἀναγνώστου, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον καὶ τὸ θυμίαμα, πρόσεισι τῷ Ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ᾽ αὐτοῦ, καὶ χαράξας σταυρόν, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, τὰς Δεσποτικὰς Εἰκόνας, καὶ τὸν Ἱερέα. Καὶ ὁ Ἱερεύς, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγει τὴν Εὐχὴν ταύτην μυστικῶς.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος, τὸ Θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν Ἱερέα· καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλήν, λαμβάνει ἐκ τῶν χειρῶν τοῦ Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον, κρατῶν καὶ τὸ Ὡράριον σὺν τῷ ἁγίῳ Εὐαγγελίῳ ἄκροις τοῖς δακτύλοις, καὶ λέγει·

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου

Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε. ( Ματθαίου, ἢ Μάρκου, ἢ Λουκᾶ, ἢ Ἰωάννου.)

Ὁ δὲ Ἱερεύς, σφραγίζων αὐτόν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος εἰπὼν τὸ Ἀμήν, καὶ προσκυνήσας τὸ ἅγιον Εὐαγγέλιον, αἴρει αὐτό. Καὶ ἐξελθὼν διὰ τῶν ἁγίων Θυρῶν, προπορευομένων αὐτοῦ λαμπάδων, ἔρχεται, καὶ ἵσταται ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ δὲ Ἱερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ·

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Καὶ ὁ Διάκονος·

Ἐκ τοῦ κατὰ τόνδε ( Ματθαῖον, ἢ Μάρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην ) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεύς·

Πρόσχωμεν.

Καὶ πληρωθέντος τοῦ Εὐαγγελίου, λέγει ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀπελθὼν ὁ Διάκονος ἕως τῶν ἁγίων Θυρῶν, ἀποδίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ. Ὁ δὲ Ἱερεύς, δεχόμενος αὐτό, λέγει τῷ Διακόνῳ·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Καὶ ἀσπασάμενος τὸ ἅγιον Εὐαγγέλιον, καὶ χαράξας μετ᾽αὐτοῦ τύπον σταυροῦ· πρὸς τὸν λαόν, ἐπιτίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας Τραπέζης.

Καὶ πάλιν κλείονται αἱ ἅγιαι Θύραι.

Ὁ δὲ Διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν Ἐκτενῆ, ψαλλόντων τῶν δύο χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. Μυστικῶς.

**Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων· καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, ( ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου ) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως

ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει ( ἢ χώρᾳ ) ταύτῃ ( ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης ).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας ( ἢ μονῆς ) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις·

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος, τῶν Χορῶν ἐναλλὰξ ἀποκρινομένων τὸ Κύριε, ἐλέησον.

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Κατηχουμένων, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως, πρὸ τοῦ ἁπλῶσαι τὸ Εἱλητόν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα· καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ἐκφώνησις·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐξαπλοῖ ὁ Ἱερεὺς τὸ Εἱλητόν.

Καὶ ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε. Μή

τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν πρώτη, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως, μετὰ τὸ ἐξαπλῶσαι τὸ Εἱλητόν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου· καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν δευτέρα, μυστικῶς λεγομένη ὑπὸ τοῦ Ἱερέως.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου Θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. Δὸς αὐτοῖς πάντοτε μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, ἀνενόχως καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ἐκφώνησις·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ μὲν Διάκονος εἰσέρχεται εἰς τὸ ἱερὸν Βῆμα διὰ τοῦ νοτίου κλίτους, καὶ ἀνοίγονται αἱ ἅγιαι Θύραι.

Ὁ δὲ πρῶτος Χορὸς ἄρχεται ψάλλειν τὸν Χερουβικὸν Ὕμνον ἀργῶς καὶ μετὰ μέλους·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Τοῦ Χερουβικοῦ Ὕμνου ᾀδομένου, λέγει ὁ Ἱερεὺς μυστικῶς τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τοῦ Χερουβικοῦ Ὕμνου.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾽ ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ᾽ ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον

τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ Χερουβικοῦ ᾀδομένου, λαβὼν ὁ Διάκονος τὸν Θυμιατόν, καὶ θυμίαμα βαλών, καὶ χαράξας σταυρόν, πρόσεισι τῷ Ἱερεῖ. Καὶ λαβὼν εὐλογίαν παρ᾽ αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν καὶ τὸ Ἱερατεῖον ὅλον, τὸν Ἱερέα, ὕστερον δὲ τὰς Δεσποτικὰς Εἰκόνας, καὶ τὸν λαὸν ἅπαντα. Λέγει δὲ καὶ τὸν πεντηκοστὸν Ψαλμὸν καὶ τροπάρια κατανυκτικὰ ὅσα καὶ βούλεται. Καὶ εἰσελθὼν εἰς τὸ Ἱερόν, ἀποτίθησι τὸ Θυμιατήριον.

Ἱστάμενος δὲ ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου πρὸ τῆς ἁγίας Τραπέζης, λέγουσι τὸν Χερουβικὸν Ὕμνον.

Ὁ Ἱερεύς·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Ὁ Διάκονος·

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα ἀσπάζονται τὴν ἁγίαν Τράπεζαν· αὖθις δὲ προσκυνήσαντες, στρέφονται πρὸς τὸν λαὸν καὶ ὑποκλίνουσι τὰς αὐτῶν κεφαλάς, καὶ οὕτως ἀπέρχονται εἰς τὴν Πρόθεσιν, προπορευομένου τοῦ Διακόνου. Αὐτὸς δὲ θυμιάσας τὰ Ἅγια, καθ᾽ ἑαυτὸν εὐχόμενος, τρίς· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με, λέγει πρὸς τὸν Ἱερέα· Ἔπαρον, δέσποτα. Καὶ ὁ Ἱερεύς, ἄρας τὸν Ἀέρα, ἐπιτίθησιν ἐπὶ τῶν ὤμων αὐτοῦ, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Εἶτα τὸν ἅγιον Δίσκον κεκαλυμμένον λαβών, ἐπιβάλλει τῇ τοῦ Διακόνου κεφαλῇ, μετὰ πάσης προσοχῆς καὶ εὐλαβείας, ἔχοντος ἅμα τοῦ Διακόνου καὶ τὸ Θυμιατήριον ἐνὶ τῶν δακτύλων. Αὐτὸς δὲ ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον ἀνὰ χεῖρας λαμβάνει. Εἶτα ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων. Καὶ περιέρχονται τὸν Ναόν, ποιοῦντες τὴν Μεγάλην Εἴσοδον, καὶ λέγοντες·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ συμπληροῖ τὸν Χερουβικὸν Ὕμνον·

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν ἁγίων Θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς. Καὶ μέλλοντος τοῦ Ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ Διάκονος·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Διακονίας (ἢ Ἱεροδιακονίας) σου ἐν τῇ βασιλείᾳ αὐτοῦ,

πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον ἐπὶ τῆς ἁγίας Τραπέζης· τὸν δὲ ἅγιον Δίσκον λαβὼν ἀπὸ τῆς τοῦ Διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν ἐπὶ τῆς ἁγίας Τραπέζης δεξιόθεν.

Καὶ πάλιν ἀποκλείονται αἱ ἅγιαι Θύραι καὶ τὸ καταπέτασμα.

Εἶτα ὁ Ἱερεὺς τὰ μὲν καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ Δίσκου καὶ τοῦ ἁγίου Ποτηρίου, τίθησιν αὐτὰ ἐν ἑνὶ μέρει τῆς ἁγίας Τραπέζης· τὸν δὲ Ἀέρα ἀπὸ τῶν τοῦ Διακόνου ὤμων λαβών, καὶ θυμιάσας, σκεπάζει δι᾽ αὐτοῦ τὰ Ἅγια, λέγων·

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας, ἀπέθετο.

Καὶ λαβὼν τὸ Θυμιατήριον ἐκ τῶν τοῦ Διακόνου χειρῶν, θυμιᾷ τὰ Ἅγια τρίς, λέγων·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους. Τρίς.

Καὶ ἀποδοὺς τὸ Θυμιατήριον, καὶ χαλάσας τὸ Φελώνιον, κλίνας τε τὴν κεφαλήν, λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ Ἱερεὺς πρὸς τὸν Διάκονον·

Εὖξαι ὑπὲρ ἐμοῦ, συλλειτουργέ μου.

Καὶ ὁ Διάκονος·

Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Ἱερεύς·

Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Εἶτα ὁ Διάκονος, ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν Ἱερέα·

Μνήσθητί μου, δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπειπὼν ὁ Διάκονος τὸ Ἀμήν, καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιάν, ἐξέρχεται· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς Προσκομιδῆς, ὑπὸ τοῦ Ἱερέως λεγομένη μυστικῶς, μετὰ τὴν ἐπὶ τῆς ἁγίας Τραπέζης τῶν θείων δώρων ἀπόθεσιν.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· καὶ ἱκάνω-

σον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικάς, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυ-

τούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνησις·

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ Χορός· Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς·

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Καὶ ἀσπάζεται τὰ Ἅγια οὕτως, ὡς εἰσι κεκαλυμμένα, πρῶτον μὲν τὸν ἅγιον Δίσκον, εἶτα δὲ τὸ ἅγιον Ποτήριον καὶ τὴν ἁγίαν Τράπεζαν ἔμπροσθεν αὐτοῦ. Ὁμοίως δὲ καὶ ὁ Διάκονος συμπροσκυνεῖ, ἐν ᾧ ἵσταται τόπῳ, καὶ ἀσπάζεται τὸ Ὡράριον αὐτοῦ, ἔνθα ἐστὶ σταυροῦ τύπος, καὶ οὕτως ἐκφωνεῖ·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ ἀνοίγεται τὸ καταπέτασμα.

Ὁ δὲ Ἱερεύς, ἄρας τὸν Ἀέρα ἐπάνω τῶν Δώρων, κινεῖ αὐτὸν ἀνοικτόν.

Ὁ λαός, ἤ, εἰ ἔθος, ὁ Προεστώς·

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον, Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα,οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Διάκονος προσκυνήσας, εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα, διὰ τοῦ νοτίου κλίτους.

Ὁ δὲ Ἱερεύς, ἐπάρας τὸν Ἀέρα ἀπὸ τῶν ἁγίων, ἀποτίθησιν αὐτὸν ἐν ἑνὶ τόπῳ. Εἶτα στραφεὶς πρὸς τὸν λαόν, ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν (καὶ εὐλογεῖ τὸν λαόν).

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς, ὑψῶν ἀμφοτέρας τὰς χεῖρας·

Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς ἀνατολάς·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Ἄξιον καὶ δίκαιόν ἐστιν προσκυνεῖν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Καί, τοῦ Διακόνου ῥιπίζοντος τὰ Ἅγια εὐλαβῶς, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς.

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σύ, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ παρα-

πεσόντας ἀνέστησας πάλιν· καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ Πνεύματί σου τῷ Ἁγίῳ, ὑπὲρ πάντων, ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες Ἀρχαγγέλων καὶ μυριάδες Ἀγγέλων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

**Ἐνταῦθα λαβὼν ὁ Διάκονος τὸν Ἀστερίσκον ἐκ τοῦ ἁγίου Δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ· καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησιν ἐν μέρει τινί.**

Ὁ Χορός· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

**Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.**

Μετὰ τούτων, καὶ ἡμεῖς τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ, καὶ πανάγιος, σύ, καὶ ὁ μονογενής σου Υἱός, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον. Ἅγιος εἶ, καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν

Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας, καὶ εὐλογήσας (καὶ εὐλογεῖ), ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Τότε κλίνων ὁ Ἱερεὺς τὴν κεφαλήν, καὶ αἴρων τὴν δεξιὰν αὐτοῦ μετ' εὐλαβείας, λέγει ἐκφώνως, τοῦ Διακόνου δεικνύοντος αὐτῷ τὸν ἅγιον Δίσκον, κρατοῦντος καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς·

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα,
τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Εἶτα, σφραγίζει ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον, λέγων μυστικῶς·

Ὁμοίως καὶ τὸ Ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων·

Καὶ κλίνων τὴν κεφαλήν, καὶ τὴν χεῖρα ἔχων ἄνωθεν μετ' εὐλαβείας, λέγει ἐκφώνως, τοῦ Διακόνου δεικνύοντος αὐτῷ τὸ ἅγιον Ποτήριον, κρατοῦντος καὶ τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου,
τὸ τῆς καινῆς Διαθήκης,
τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον
εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων· τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς τριημέρου Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς Ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας.

Ἐκφώνως·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα.

Καὶ ὁ Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ· καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος, καὶ δεικνύων σὺν τῷ Ὠραρίῳ τὸν ἅγιον Ἄρτον, λέγει μυστικῶς·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος, σφραγίζει τὸν ἅγιον Ἄρτον, λέγων·

Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ αὖθις ὁ αὐτός, δεικνύων σὺν τῷ Ὡραρίῳ τὸ ἅγιον Ποτήριον·

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει·

Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ αὖθις ὁ Διάκονος, δεικνύων μετὰ τοῦ Ὡραρίου ἀμφότερα τὰ Ἅγια, λέγει·

Εὐλόγησον, δέσποτα, τὰ ἀμφότερα.

Ὁ δὲ Ἱερεύς, εὐλογῶν ἀμφότερα τὰ Ἅγια, λέγει·

Μεταβαλὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Ὁ Διάκονος·

Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ, ἵσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, καὶ λαβὼν τὸ Ῥιπίδιον, ῥιπίζει τὰ Ἅγια, ὡς καὶ τὸ πρότερον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρίμα ἢ εἰς κατάκριμα.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν,

Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Καὶ λαβὼν τὸν θυμιατόν, θυμιᾷ τρὶς ἐνώπιον τῆς Ἁγίας Τραπέζης, λέγων ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Καὶ ἐπιδίδωσι τὸ θυμιατήριον τῷ Διακόνῳ, ὅστις θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βούλεται ζώντων καὶ τεθνεώτων.

Ὁ Χορός· Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐν ταῖς Δεσποτικαῖς ἢ Θεομητορικαῖς Ἑορταῖς καὶ ἐν ταῖς Ἀποδόσεσι αὐτῶν ψάλλεται ὁ Εἱρμὸς τῆς ἐννάτης Ὠδῆς αὐτῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου τοῦ δεῖνος οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα μνημονεύει ὁ Ἱερεὺς ὧν θέλει τεθνεώτων.

Καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ Πρεσβυτερίου, τῆς ἐν Κυρίῳ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ἐκφώνως·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ παναγιωτάτου Πατρὸς ἡμῶν τοῦ δεῖνος Πάπα Ῥώμης, καὶ τοῦ μακαριωτάτου Πατριάρχου ἡμῶν τοῦ δεῖνος [ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου ἡμῶν τοῦ δεῖνος ], οὓς χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις, ἐν εἰρήνῃ, σῴους, ἐντίμους, ὑγιεῖς, μακροημερεύοντας, καὶ ὀρθοτομοῦντας τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος, πρὸς τῇ Θύρᾳ στάς, μνημονεύει τῶν ζώντων· εἶτα δὲ ἐκφωνεῖ·

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια Δῶρα ταῦτα, εὐλαβεστάτου Ἱερέως τοῦ δεῖνος. Ὑπὲρ σω-

τηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, σωτηρίας τε καὶ βοηθείας τοῦ περιεστῶτος λαοῦ, καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Ὁ Χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, τῆς πόλεως (ἢ χώρας ἢ μονῆς) ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ στραφεὶς πρὸς τὸν λαόν, καὶ εὐλογῶν αὐτόν, λέγει ἐκφώνως·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Διάκονος, λαβὼν καιρὸν παρὰ τοῦ Ἱερέως καὶ ἐξελθών, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε· καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς Τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς ἐκφώνως·

**Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·**

Ὁ λαός, ἢ εἰ ἔθος, ὁ Προεστώς·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν

τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεύς, ὁμοίως καὶ ὁ Διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ἐν τούτῳ δέ, ζώννυται ὁ Διάκονος τὸ Ὠράριον αὐτοῦ σταυροειδῶς.

Ὅταν δὲ ἴδῃ τὸν Ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου Ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν Ὕψωσιν, ἐκφωνεῖ·

Πρόσχωμεν.

Καὶ ὁ Ἱερεύς, ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ·

Τὰ Ἅγια τοῖς Ἁγίοις.

Ὁ Χορός· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ ψάλλεται τὸ Κοινωνικὸν τῆς ἡμέρας, ἢ τῆς Ἑορτῆς.

Καὶ ἀνακλείεται τὸ καταπέτασμα.

Εἶτα εἰσέρχεται ὁ Διάκονος εἰς τὸ ἅγιον βῆμα διὰ τοῦ νοτίου κλίτους, καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεύς, μελίζων αὐτὸν εἰς τέσσαρας μερίδας, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει·

Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς, οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ὁ Διάκονος, δεικνύων σὺν τῷ Ὠραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεύς, λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα πίστεως Πνεύματος Ἁγίου.

Καὶ οὕτως ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ δεχόμενος τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ Ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος ἐκχέει τοῦ Ζέοντος τὸ ἀρκοῦν σταυροειδῶς ἔνδον τοῦ ἁγίου Ποτηρίου, λέγων·

Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου.

Καὶ ἀποθέμενος τὸ Ζέον, ἵσταται μικρὸν ἄποθεν.

Ὁ δὲ Ἱερεύς, κλίνας κάτω τὴν κεφαλήν, προσεύχεται λέγων·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καί, εἰ βούλεται·

Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ᾽ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ· καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω, Δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν· ἀλλ᾽ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου Σώματος καὶ Αἵματός σου.

Ὁ Θεὸς ἡμῶν, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου Μητρός, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὸ τίμιον καὶ ἄχραντον Σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τελευταῖον τὸ

Μή μοι εἰς κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ᾽ εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἁγίου Ἄρτου μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει·

Διάκονε, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν, καὶ λέγων·

Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, κρατῶν τὸν ἅγιον Ἄρτον, δίδωσι τῷ Διακόνῳ ἐν τῇ παλάμῃ, λέγων·

Μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ὁ δὲ Διάκονος, ἀσπασάμενος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα, ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς Τραπέζης, καὶ κλίνας τὴν κεφαλήν, μεταλαμβάνει τοῦ ἐν τῇ αὐτοῦ παλάμῃ.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Καλύμματος, λέγει·

Ἔτι μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μεταλαβὼν τρὶς ἐξ αὐτοῦ, καὶ ἀποσπογγίσας, διὰ τοῦ ἐν χερσὶ Καλύμματος, τά τε χείλη καὶ τὸ ἅγιον Ποτήριον, ἀσπάζεται αὐτὸ λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα καλεῖ τὸν Διάκονον, λέγων·

Διάκονε, ἔτι πρόσελθε.

Ἐλθὼν δὲ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, σπογγίζει μετὰ τῆς Μούσης τὴν παλάμην αὐτοῦ ἐπὶ τοῦ ἁγίου Δίσκου μετὰ προσοχῆς, λέγων ἅμα·

Ἔτι προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ. Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, μεταδιδοὺς αὐτῷ τρὶς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει·

Ἔτι μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Τότε, λαβὼν ὁ Διάκονος τὸν ἅγιον Δίσκον, ἐπάνω τοῦ ἁγίου Ποτηρίου, ἀποσπογγίζει τῷ ἁγίῳ Σπόγγῳ πάνυ καλῶς. Εἶτα μετὰ προσοχῆς καὶ εὐλαβείας σκεπάζει τὸ ἅγιον Ποτήριον τῷ Καλύμματι· ὁμοίως καὶ ἐπὶ τὸν ἅγιον Δίσκον ἀνατίθησι τὸν ἀστέρα καὶ τὰ καλύμματα.

Εἰ δὲ οἱ πιστοὶ μεταλαμβάνουσιν οὐ διὰ τῆς λαβίδος, ἀλλὰ διὰ τῆς χειρός, οὐκ ἀποσπογγίζει τὸν ἅγιον Δίσκον, ἀλλὰ ἐγκαταλείπει τὸν ἅγιον Ἄρτον καὶ τὰς μερίδας ἐπὶ τῷ Δίσκῳ οὐ κεκαλυμμένῳ. Ἐμβάλλει τὰς ὑπολειπομένας μερίδας ἐν τῷ ἁγίῳ Ποτηρίῳ, μετὰ τὴν κοινωνίαν τῶν πιστῶν.

Καὶ οὕτως ἀνοίγουσιν τὴν θύραν τοῦ ἁγίου Βήματος. Καὶ ὁ Διάκονος, προσκυνήσας ἅπαξ, λαμβάνει τὸ Ποτήριον μετ᾽ εὐλαβείας, καὶ ἔρχεται εἰς τὴν θύραν, καὶ ὑψῶν τὸ ἅγιον Ποτήριον, δείκνυσιν αὐτὸ τῷ λαῷ, λέγων·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ὁ Χορός· Ἀμήν, ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Καὶ οἱ πιστοὶ προσέρχονται εἰς τὸ κοινωνεῖν. Ὁ δὲ Ἱερεύς, μεταδιδοὺς ἑκάστῳ, λέγει·

**Μεταλαμβάνει ὁ δοῦλος ( ἢ ἡ δούλη ) τοῦ Θεοῦ καὶ ἐπιλέγει τὸ ὄνομα τὸ τίμιον καὶ ἅγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ ( ἢ αὐτῆς ) ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.**

Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστούς, οἱ Χοροὶ ψάλλουσι χύμα, ἅπαξ ἢ πλεονάκις, κατὰ τὸν ἀριθμὸν τῶν κοινωνούντων, τὸ

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ ληστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Μετὰ τὴν θείαν μετάληψιν, ὁ Ἱερεὺς εὐλογεῖ τὸν λαόν, ἐπιλέγων ἐκφώνως·

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.**

Ὁ Χορός· Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἐν ταῖς τοῦ Δεσπότου ἑορταῖς, ψάλλεται τὸ Τροπάριον τῆς ἑορτῆς.

Καὶ ἐπιστρέφουσιν ὅ τε Διάκονος καὶ ὁ Ἱερεύς, εἰς τὴν ἁγίαν Τράπεζαν· καὶ θυμιᾷ ὁ Ἱερεὺς τρίς, λέγων καθ᾽ ἑαυτόν·

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εἶτα λαβὼν τὸν ἅγιον Δίσκον, τίθησιν ἐπὶ τὴν κεφαλὴν τοῦ Διακόνου. Καὶ ὁ Διάκονος, λαβὼν αὐτὸν μετ᾽ εὐλαβείας, θεωρῶν ἔξω πρὸς τὴν θύραν, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν Πρόθεσιν, καὶ ἀποτίθησιν αὐτόν. Ὁ δὲ Ἱερεύς, προσκυνήσας, καὶ λαβὼν τὸ ἅγιον Ποτήριον, καὶ ἐπιστραφεὶς πρὸς τὴν θύραν, ὁρᾷ τὸν λαόν, λέγων μυστικῶς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

καὶ ἐκφώνως·

πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι τὸ Ποτήριον εἰς τὴν Πρόθεσιν.

Ὁ Χορός· Ἀμήν. Καί, εἰ ἔθος·

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων, ἀθανάτων καὶ ἀχράντων σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ ἁγιασμῷ, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Εἶτα, ὁ μὲν Διάκονος, ἐξελθὼν καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλή-

λους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ δὲ Ἱερεὺς ἐπιλέγει μυστικῶς τὴν τῆς εὐχαριστίας Εὐχήν·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων Μυστηρίων· ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν· στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας· φρούρησον ἡμῶν τὴν ζωήν· ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν Ἁγίων σου.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως ἔξω τοῦ βήματος·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον

τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Τρίς.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν· καὶ στραφεὶς πρὸς τὴν Πρόθεσιν, λέγει τὴν παροῦσαν εὐχήν·

Εὐχὴ λεγομένη μυστικῶς πρὸ τοῦ συστεῖλαι τὸν Διάκονον τὰ Ἅγια·

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος εἰσέλθει καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, καί, πρὸ τῆς θύρας στάς, ἐκφωνεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ λαός, ἢ ὁ Ἀναγνώστης·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς τὸν λαόν, ποιεῖ Ἀπόλυσιν.

Εἴπερ ἐστὶ Κυριακή· Ὁ ἀναστὰς ἐκ νεκρῶν, (εἰ δὲ μή·) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, καὶ τὰ λοιπὰ κατὰ τὴν ἡμέραν· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τοῦ ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ δὲ Διάκονος συστέλλει τὰ Ἅγια μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν ἄγαν λεπτοτάτων ἐκπεσεῖν, ἢ καταλειφθῆναι. Καὶ ἀπονίπτεται τὰς χεῖρας ἐν τῷ συνήθει τόπῳ.

Ὁ δὲ Ἱερεύς, ἐξελθών, δίδωσι τῷ λαῷ τὸ ἀντίδωρον, λέγων ἑνὶ ἑκάστῳ·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐπὶ σέ.

Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον Βῆμα, ἀποδύεται τὴν ἱερατικὴν στολήν, λέγων·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Ἀπολυτίκιον τῆς ἡμέρας, εἰ θέλει, ἔπειτα τὸ Τροπάριον τοῦ Χρυσοστόμου·

Ἡ τοῦ στόματός σου* καθάπερ πυρσὸς* ἐκλάμψασα χάρις,* τὴν οἰκουμένην ἐφώτισεν·* ἀφιλαργυρίας τῷ κόσμῳ* θησαυροὺς ἐναπέθετο,* τὸ ὕψος ἡμῖν* τῆς ταπεινοφροσύνης ὑπέδειξεν·* ἀλλὰ σοῖς λόγοις παιδεύων,* Πάτερ Ἰωάννη Χρυσόστομε,* πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ* σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύριε ἐλέησον, ιβ΄. Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν...

Καὶ ποιεῖ Ἀπόλυσιν. Καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

Τέλος τῆς θείας Λειτουργίας τοῦ Χρυσοστόμου.



# ΑΙ ΚΑΘΗΜΕΡΙΝΑΙ ΑΠΟΛΥΣΕΙΣ

Τῷ Σαββάτῳ ἑσπέρας καὶ τῇ Κυριακῇ, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἰς τὴν Λειτουργίαν, ὅτε λέγεται ἡ τοῦ Χρυσοστόμου, μετὰ τοὺς Ἀποστόλους προστίθεται·

τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, κ. τ. λ. Ὅτε δὲ λέγεται ἡ τοῦ Μεγάλου Βασιλείου, προστίθεμεν· τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας, τοῦ Μεγάλου, κ. τ. λ.

Ἐν τῇ Ἀπολύσει τῶν Προηγιασμένων, οὐδεὶς μνημονεύεται ὡς συντάκτης τῆς Λειτουργίας ταύτης.

Τῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ, εἰς τὸν Ὄρθρον καὶ εἰς τὴν Λειτουργίαν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς...

Τῇ Δευτέρᾳ ἑσπέρας καὶ τῇ Τρίτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Τρίτῃ ἑσπέρας καὶ τῇ Τετάρτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἱκεσίαις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Τετάρτῃ ἑσπέρας καὶ τῇ Πέμπτῃ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἐν

Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ...

Τῇ Πέμπτῃ ἑσπέρας καὶ τῇ Παρασκευῇ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἱκεσίαις τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων...

Τῇ Παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ πρωΐ·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ αυται αἱ Ἀπολύσεις γίνονται μὲν καθ᾿ ἑκάστην ἡμέραν, ὅτε οὐκ ἔχομεν ἑορταζόμενον Ἅγιον· ὅτε δὲ ὑπάρχει τοιοῦτός τις, τότε οὐ γίνεται μνεία, τῇ μὲν Δευτέρᾳ, τῶν Οὐρανίων Δυνάμεων· τῇ δὲ Τρίτῃ, τοῦ Προδρόμου· τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ, τοῦ Σταυροῦ· τῇ Πέμπτῃ, τοῦ ἁγίου Νικολάου· καὶ τῷ Σαββάτῳ, τῶν Ὁσίων καὶ τῶν Μαρτύρων.



# ΑΙ ΑΠΟΛΥΣΕΙΣ

## ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ ΕΟΡΤΩΝ

λεγόμεναι εἰς τὸν Ἑσπερινόν, εἰς τὸν Ὄρθρον,

καὶ εἰς τὴν Λειτουργίαν, κατὰ τάξιν.

Εἰς τὴν τοῦ Χριστοῦ Γέννησιν·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς...

Εἰς τὴν Περιτομήν·

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῶν ἁγίων Θεοφανείων·

Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι ὑπὸ Ἰωάννου καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Ὑπαπαντήν·

Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Εἰς τὴν Μεταμόρφωσιν·

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ, ἐνώπιον τῶν ἁγίων αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων...

Τῇ Κυριακῇ τῶν Βαΐων·

Ὁ ἐπὶ πώλου καθεσθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, καὶ μέχρι τῆς Μεγάλης Πέμπτης·

Ἐρχόμενος ὁ Κύριος ἐπὶ τὸ ἑκούσιον πάθος, διὰ τὴν ἡμῶν σωτηρίαν...

Τῇ Μεγάλῃ Πέμπτῃ·

Ὁ δι᾽ ὑπερβάλλουσαν ἀγαθότητα ὁδὸν ἀρίστην τὴν ταπείνωσιν ὑποδείξας, ἐν τῷ νίψαι τοὺς πόδας τῶν Μαθητῶν, καὶ μέχρι Σταυροῦ καὶ Ταφῆς συγκαταβὰς ἡμῖν...

Εἰς τὴν ἀπόλυσιν τῶν ἁγίων Παθῶν·

Ὁ ἐμπτυσμούς, καὶ μάστιγας, καὶ κολαφισμούς, καὶ Σταυρόν, καὶ θάνατον ὑπομείνας, διὰ τὴν τοῦ κόσμου σωτηρίαν...

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ·

Ὁ δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, τὰ φρικτὰ πάθη, καὶ τὸν ζωοποιὸν σταυρόν, καὶ τὴν ἑκούσιον ταφὴν σαρκὶ καταδεξάμενος...

Τῇ ἁγίᾳ Κυριακῇ τοῦ Πάσχα, καὶ πάσαις ταῖς Κυριακαῖς τοῦ χρόνου·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Τῇ Κυριακῇ τοῦ Θωμᾶ·

Ὁ τὸν θάνατον πατήσας καὶ τὸν Θωμᾶν πληροφορήσας...

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως·

Ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾿ ἡμῶν εἰς τοὺς οὐρανούς, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός...

Τῇ Κυριακῇ τῆς Πεντηκοστῆς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, Χριστός...

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας·

Ὁ ἐκ τῶν πατρικῶν καὶ θεϊκῶν κόλπων κενώσας ἑαυτόν, καὶ ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς κατελθών, καὶ τὴν ἡμετέραν ὅλην ἀναλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς οὐρανοὺς αὖθις ἀνελθών, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό τε θεῖον καὶ ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου, φωτίσας μὲν αὐτούς, δι᾿ αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν,

ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, θεοκηρύκων καὶ πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.



# ΕΥΧΑΡΙΣΤΙΑ

## ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός. Δόξα σοι, ὁ Θεός.

Καὶ εὐθὺς τὰς ἑπομένας εὐχαριστηρίους Εὐχάς.

Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν Ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων Δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστάς, καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ' εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καὶ τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα, ἐν τῷ ἁγιασμῷ σου δι'

αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντός, καὶ μηκέτι ἐμαυτῷ ζῷ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀΐδιον καταντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἄῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετόν, καὶ ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Χριστὲ ὁ Θεός, Βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου, καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν Ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,* ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,* μὴ δὴ καταφλέξῃς με, μή, Πλαστουργέ μου,* μᾶλλον δίελθε πρὸς

μελῶν μου συνθέσεις,* εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.

Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·* ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας·* τὰς ἰγνύας στήριξον, ὀστέοις ἅμα·* αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·* ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.

Ἀεὶ σκέπε, φρούρει τε, καὶ φύλαττέ με* ἐκ παντὸς ἔργου, καὶ λόγου ψυχοφθόρου.

Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με·* κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·* δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου,* καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας·* ἵν' ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας* ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.

Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,* τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων,* τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους,* πρὸς τοῖς δὲ σὴν ἄχραντον ἁγνὴν Μητέρα·* ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,* καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν.

Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος* ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης,* καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ,* δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

## ΕΥΧΗ ΕΤΕΡΑ

Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου, ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης· πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.

## ΑΝΩΝΥΜΟΥ

### Εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος, καὶ τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ' ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισόν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου, καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ

σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.



# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Σημείωσαι, ὅτι αὕτη ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου, οὐ λέγεται πάντοτε, ἀλλ᾽ ἐν καιροῖς τεταγμένοις, ἤγουν ἐν ταῖς Κυριακαῖς τῆς μεγάλης Τεσσαρακοστῆς, πλὴν τῆς Κυριακῆς τῶν Βαΐων, ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, ἐν τῷ μεγάλῳ Σαββάτῳ, ἐν τῇ Παραμονῇ τῆς τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Γεννήσεως καὶ τῶν Φώτων, καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑορτασίμῳ τοῦ ἁγίου Βασιλείου.

Ἡ ἑρμηνεία δὲ καὶ ἡ διάταξις ταύτης τῆς Ἱερουργίας ἡ αὐτή ἐστιν τῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα.

Ὁ Ἱερεύς·

**Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν (ἢ τῶν ἀρχόντων ἡμῶν), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ (ἢ αὐτῶν), τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ τοῦ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτοῦ (ἢ αὐτῶν) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.]

Ὑπὲρ τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου α΄. Μυστικῶς.

**Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.**

Ἐκφώνησις·

**Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Εἶτα τὸ πρῶτον Ἀντίφωνον, ἢ ὁ α΄ ψαλμὸς τῶν Τυπικῶν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου

Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου β΄. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου ἐν εἰρήνῃ διαφύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεός, τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα τὸ δεύτερον Ἀντίφωνον ἢ ὁ β΄ ψαλμὸς τῶν Τυπικῶν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου γ΄. Μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Ἐκφώνησις·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα τὸ τρίτον Ἀντίφωνον ἢ οἱ Μακαρισμοί.

Καὶ γίνεται ἡ μικρὰ Εἴσοδος.

Τοῦ Διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τῆς Εἰσόδου. Μυστικῶς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων καὶ Ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων Ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ

Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τῆς Εὐχῆς δὲ τελεσθείσης, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει μυστικῶς·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Σοφία· ὀρθοί.

Καὶ ψάλλεται τὸ Εἰσοδικόν. Εἶτα εἰσέρχονται ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος εἰς τὸ ἅγιον Βῆμα. Οἱ δὲ Ψάλται λέγουσι τὰ συνήθη Τροπάρια.

Ὁ δὲ Ἱερεὺς λέγει τὴν Εὐχὴν ταύτην.

Εὐχὴ τοῦ Τρισαγίου Ὕμνου. Μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν Σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου Δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ᾿ εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου Θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι

καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα· καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Πληρωθέντος δὲ τοῦ τελευταίου Τροπαρίου, λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί.

Ὁ Διάκονος·

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Καὶ ψάλλεται τὸ Τρισάγιον·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Τρίς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Καὶ πάλιν·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

---

Ἐν τισιν Ἑορταῖς, ἀντὶ τοῦ Τρισαγίου ψάλλεται·

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

Τῇ δὲ τρίτῃ Κυριακῇ τῆς ἁγίας καὶ Μεγάλης Τεσσαρακοστῆς·

Τὸν Σταυρόν σου προσκυνοῦμεν, Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

---

Εἶτα λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Κέλευσον, δέσποτα.

Καὶ ἀπέρχονται εἰς τὴν Καθέδραν. Καὶ ὁ Ἱερεὺς λέγει ἀπερχόμενος·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ δὲ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὴν ἄνω Καθέδραν.

Καὶ ὁ Ἱερεύς·

Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ ὁ Ἀναγνώστης τὸ Προκείμενον.

Καὶ ὁ Διάκονος αὖθις·

Σοφία.

Καὶ ὁ Ἀναγνώστης λέγει τὴν ἐπιγραφὴν τοῦ Ἀποστόλου.

Καὶ αὖθις ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ τοῦ Ἀποστόλου πληρωθέντος, λέγει ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Εὐχὴ πρὸ τοῦ Εὐαγγελίου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγ-

μάτων κατανόησιν. Ἔνθες ἡμῖν τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα τὰ πρὸς εὐαρέστησιν τὴν σὴν καὶ φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Διάκονος, τὸ Θυμιατήριον ἀποθέμενος, ἔρχεται πρὸς τὸν Ἱερέα, καὶ λέγει·

Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε ( Ματθαίου, ἢ Μάρκου, ἢ Λουκᾶ, ἢ Ἰωάννου. )

Ὁ δὲ Ἱερεύς, σφραγίζων αὐτόν, λέγει·

Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τοῦδε, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος εἰπὼν τὸ Ἀμήν, καὶ προσκυνήσας τὸ ἅγιον Εὐαγγέλιον, αἴρει αὐτό. Καὶ ἐξελθὼν διὰ τῶν ἁγίων Θυρῶν, προπορευομένων αὐτοῦ λαμπάδων, ἔρχεται, καὶ ἵσταται ἐν τῷ ἄμβωνι ἢ ἐν τῷ τεταγμένῳ τόπῳ.

Ὁ δὲ Ἱερεύς, ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ·

Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἐκ τοῦ κατὰ τόνδε ( Ματθαῖον, ἢ Μάρκον, ἢ Λουκᾶν, ἢ Ἰωάννην ) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεύς·

Πρόσχωμεν.

Καὶ πληρωθέντος τοῦ Εὐαγγελίου, λέγει ὁ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀπελθὼν ὁ Διάκονος ἕως τῶν ἁγίων Θυρῶν, ἀποδίδωσι τὸ ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ. Ὁ δὲ Ἱερεύς, δεχόμενος αὐτό, λέγει τῷ Διακόνῳ·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Ὁ δὲ Διάκονος, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὴν Ἐκτενῆ, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων· καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, ( ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου ) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει ( ἢ χώρᾳ ) ταύτῃ ( ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης ).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας ( ἢ μονῆς ) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις·

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος, τῶν Χορῶν ἐναλλὰξ ἀποκρινομένων τὸ Κύριε, ἐλέησον·

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς λέγει μυστικῶς τὴν Εὐχὴν ὑπὲρ τῶν Κατηχουμένων πρὸ τῆς ἁγίας Ἀναφορᾶς.

**Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν, καὶ ἐπιβλέπων ἐπὶ πάντα τὰ ἔργα σου, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας τοὺς ἑαυτῶν αὐχένας ἐνώπιόν σου· καὶ δὸς αὐτοῖς τὸν ἐλαφρὸν ζυγόν· ποίησον αὐτοὺς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας· καὶ καταξίωσον αὐτοὺς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.**

Ἐκφώνησις·

**Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν, ὁ Ἱερεὺς ἐξαπλοῖ τὸ Εἰλητὸν κατὰ τὸ σύνηθες.

Καὶ ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν πρώτη, μετὰ τὸ ἐξαπλωθῆναι τὸ Εἰλητόν, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Σύ, Κύριε, κατέδειξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σὺ κατηξίωσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, γενέσθαι λειτουργοὺς τοῦ ἁγίου σου Θυσιαστηρίου· σὺ ἱκάνωσον ἡμᾶς τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος εἰς τὴν διακονίαν ταύτην, ἵνα ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σὺ γὰρ εἶ ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι. Δός, Κύριε, καὶ ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτὴν γενέσθαι τὴν θυσίαν ἡμῶν, καὶ εὐπρόσδεκτον ἐνώπιόν σου.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύ-

ματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ Πιστῶν δευτέρα, ἣν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Ὁ Θεός, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν· ὁ στήσας ἡμᾶς τοὺς ταπεινούς, καὶ ἁμαρτωλούς, καὶ ἀναξίους δούλους σου, κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ· σὺ ἐνίσχυσον ἡμᾶς, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, εἰς τὴν διακονίαν ταύτην· καὶ δὸς ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τὸ ἐπικαλεῖσθαι τὴν χάριν τοῦ Ἁγίου Πνεύματος ἐπὶ τῶν μελλόντων προτίθεσθαι δώρων.

Ἐκφώνησις·

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Εὐχή, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς, τοῦ Χερουβικοῦ ᾀδομένου·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι, ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν, καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου· καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι, κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφε-

ρόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κἀνταῦθα ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος τὰ αὐτὰ ποιοῦσι, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Ἱερουργίᾳ.

Πληρωθείσης τῆς Εὐχῆς καὶ μετὰ τὸ θυμιᾶσαι τὸν Διάκονον, λέγουσι καὶ αὐτοί, ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, τὸν Χερουβικὸν Ὕμνον.

Ὁ Ἱερεύς·

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Ὁ Διάκονος·

Ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Τῇ Μεγάλῃ Πέμπτῃ λέγεται·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾿ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Τῷ Μεγάλῳ Σαββάτῳ λέγεται·

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου· καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων προσέρ-

χεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀρχαγγέλων, μετὰ πάσης Ἀρχῆς καὶ Ἐξουσίας, τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Καὶ ἀπέρχονται εἰς τὴν Πρόθεσιν, προπορευομένου τοῦ Διακόνου, καὶ λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα· Ἔπαρον, δέσποτα. Καὶ ὁ Ἱερεύς, ἄρας τὸν Ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ Διακόνου, λέγων·

Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον.

Ποιοῦντες τὴν Μεγάλην Εἴσοδον, λέγουσι·

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν ἁγίων Θυρῶν, λέγει πρὸς τὸν Ἱερέα·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἱερεὺς πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Διακονίας (ἢ Ἱεροδιακονίας) σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς, σκεπάζων τὰ Ἅγια, λέγει·

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθε-

λὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας, ἀπέθετο.

Καὶ λαβὼν τὸ Θυμιατήριον ἐκ τῶν τοῦ Διακόνου χειρῶν, θυμιᾷ τὰ Ἅγια τρίς, λέγων·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ Θυσιαστήριόν σου μόσχους. Τρίς.

Καὶ ἀποδοὺς τὸ Θυμιατήριον, καὶ χαλάσας τὸ Φελώνιον, κλίνας τε τὴν κεφαλήν, λέγει πρὸς τὸν Διάκονον·

Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ ὁ Διάκονος πρὸς αὐτόν·

Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ ὁ Ἱερεὺς πρὸς τὸν Διάκονον·

Εὖξαι ὑπὲρ ἐμοῦ, συλλειτουργέ μου.

Καὶ ὁ Διάκονος·

Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Καὶ ὁ Ἱερεύς·

Αὐτὸ τὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Εἶτα ὁ Διάκονος, ὑποκλίνας καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ Ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν Ἱερέα·

Μνήσθητί μου, δέσποτα ἅγιε.

Καὶ ὁ Ἱερεύς·

Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἐπειπὼν ὁ Διάκονος τὸ Ἀμήν, καὶ ἀσπασάμενος τὴν τοῦ Ἱερέως δεξιάν, ἐξέρχεται· καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ τῆς Προσκομιδῆς, ὑπὸ τοῦ Ἱερέως λεγομένη μυστικῶς, μετὰ τὴν ἐπὶ τῆς ἁγίας Τραπέζης τῶν θείων δώρων ἀπόθεσιν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδοὺς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων Μυστηρίων ἀποκάλυψιν· σὺ εἶ ὁ θέμενος ἡμᾶς εἰς τὴν διακονίαν ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου. Εὐδόκησον δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργοὺς τῶν ἁγίων σου Μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον Θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἣν προσδεξάμενος εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον καὶ νοερόν σου Θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Ἐπί-

βλεψον ἐφ' ἡμᾶς, ὁ Θεός, καὶ ἔπιδε ἐπὶ τὴν λατρείαν ἡμῶν ταύτην, καὶ πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων Ἀποστόλων τὴν ἀληθινὴν ταύτην λατρείαν, οὕτω καὶ ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τὰ Δῶρα ταῦτα, ἐν τῇ χρηστότητί σου, Κύριε· ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, εὕρωμεν τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ἐκφώνησις·

**Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ Χορός· Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ Ἱερεὺς προσκυνεῖ τρίς, λέγων μυστικῶς·

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου. Τρίς.

Καὶ ὁ Διάκονος περιπτύσσεται τὸ Ὠράριον αὐτοῦ, καὶ προσκυνεῖ τρίς, καὶ ἐπισυνάπτει ἐκφώνως·

Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Λαός, ἤ, εἰ ἔθος, ὁ Προεστώς·

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον, Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾿ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν, τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός· Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεὺς ἐκφώνως·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς·

Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ Χορός· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Ἄξιον καὶ δίκαιόν ἐστιν προσκυνεῖν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ὁ ὤν, Δέσποτα, Κύριε, Θεέ, Πάτερ παντοκράτορ προσκυνητέ, ἄξιον ὡς ἀληθῶς, καὶ δίκαιον, καὶ πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σὲ αἰνεῖν, σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σοὶ εὐχαριστεῖν, σὲ δοξάζειν τὸν μόνον ὄντως ὄντα Θεόν, καὶ σοὶ προσφέρειν, ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως, τὴν λογικὴν ταύτην λατρείαν ἡμῶν· ὅτι σὺ εἶ ὁ χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καὶ τίς ἱκανὸς λαλῆσαι τὰς δυναστείας σου, ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέ-

σεις σου, ἢ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου ἐν παντὶ καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρωμένης τε καὶ οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκὼν τῆς σῆς ἀγαθότητος, σφραγὶς ἰσότυπος, ἐν ἑαυτῷ δεικνὺς σὲ τὸν Πατέρα, Λόγος ζῶν, Θεὸς ἀληθινός, ἡ πρὸ αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τὸ φῶς τὸ ἀληθινόν, παρ᾽ οὗ τὸ Πνεῦμα τὸ Ἅγιον ἐξεφάνη, τὸ τῆς ἀληθείας Πνεῦμα, τὸ τῆς υἱοθεσίας χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρ᾽ οὗ πᾶσα κτίσις λογική τε καὶ νοερά, δυναμουμένη, σοὶ λατρεύει, καὶ σοὶ τὴν ἀΐδιον ἀναπέμπει δοξολογίαν· ὅτι τὰ σύμπαντα δοῦλα σά. Σὲ γὰρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, καὶ τὰ πολυόμματα Χερουβίμ· σοὶ παρίστανται κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν, ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶ πετόμενα, κέκραγεν ἕτερον πρὸς τὸ ἕτερον ἀκαταπαύστοις στόμασι, ἀσιγήτοις δοξολογίαις.

Ἐκφώνως ὁ Ἱερεύς·

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα·

Ὁ Χορός· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Κἀνταῦθα ὁ Διάκονος ταὐτὰ ποιεῖ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Μετὰ τούτων τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ, ὡς ἀληθῶς, καὶ πανάγιος, καὶ οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καὶ κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν. Πλάσας γὰρ τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν, ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου, ἐπαγγειλάμενος αὐτῷ· ἀλλὰ παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ τοῦ κτίσαντος αὐτόν, καὶ τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτὸν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ παραδείσου εἰς τὸν κόσμον τοῦτον, καὶ ἀπέστρεψας εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τὴν ἐκ παλιγγενεσίας σωτηρίαν, τὴν ἐν αὐτῷ τῷ Χριστῷ σου· οὐ γὰρ ἀπεστράφης τὸ πλάσμα σου

εἰς τέλος ὃ ἐποίησας, ἀγαθέ, οὐδὲ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ᾽ ἐπεσκέψω πολυτρόπως διὰ σπλάγχνα ἐλέους σου· προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διὰ τῶν Ἁγίων σου, τῶν καθ᾽ ἑκάστην γενεὰν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διὰ στόματος τῶν δούλων σου τῶν Προφητῶν, προκαταγγέλλων ἡμῖν τὴν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· Ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· ὃς ὢν ἀπαύγασμα τῆς δόξης σου καὶ χαρακτὴρ τῆς ὑποστάσεώς σου, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα σοὶ τῷ Θεῷ καὶ Πατρί· ἀλλὰ Θεὸς ὢν προαιώνιος, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐκ Παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, εὐδόκησεν ὁ μονογενής σου Υἱός, ὁ ὢν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καὶ Πατρός, γενόμενος ἐκ γυναικός, τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, γενόμενος ὑπὸ νόμον, κατακρῖναι τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ· ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθνήσκοντες ζωοποιηθῶσιν ἐν αὐτῷ

τῷ Χριστῷ σου· καὶ ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δοὺς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καὶ καθαρίσας ἐν ὕδατι, καὶ ἁγιάσας τῷ Πνεύματι τῷ Ἁγίῳ, ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν· καὶ κατελθὼν διὰ τοῦ Σταυροῦ εἰς τὸν Ἅδην, ἵνα πληρώσῃ ἑαυτῷ τὰ πάντα, ἔλυσε τὰς ὀδύνας τοῦ θανάτου· καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὁδοποιήσας πάσῃ σαρκὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς, ἐγένετο ἀπαρχὴ τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνά ᾖ αὐτὸς τὰ πάντα ἐν πᾶσι πρωτεύων· καὶ ἀνελθὼν εἰς τοὺς οὐρανούς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὃς καὶ ἥξει ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· κατέλιπε δὲ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἃ προτεθείκαμεν κατὰ τὰς αὐτοῦ ἐντολάς. Μέλλων γὰρ ἐξιέναι ἐπὶ τὸν ἑκούσιον καὶ ἀοίδιμον καὶ ζωοποιὸν αὐτοῦ θάνατον, τῇ νυκτὶ ᾗ παρεδίδου ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐπὶ τῶν ἁγίων αὐτοῦ καὶ ἀχράντων χειρῶν, καὶ ἀναδείξας σοὶ τῷ Θεῷ καὶ Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας·

Ὁ Ἱερεὺς κλίνει τὴν κεφαλήν, καὶ αἴρων τὴν αὐτοῦ δεξιὰν μετ᾽ εὐλαβείας, εὐλογεῖ τὸν ἅγιον Ἄρτον, ἐκφώνως λέγων·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, εἰπών·

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Τότε ὁ Ἱερεὺς καὶ ὁ Διάκονος ταὐτὰ κἀνταῦθα ποιοῦσιν ὡς ἐν τῇ τοῦ Χρυσοστόμου.

Ὁ Ἱερεύς, μυστικῶς·

Ὁμοίως καὶ τὸ Ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας·

Ὁ Ἱερεὺς τὴν χεῖρα ἔχων ἄνωθεν μετ᾽ εὐλαβείας, καὶ εὐλογῶν λέγει ἐκφώνως·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ Αἷμά μου,
τὸ τῆς καινῆς Διαθήκης,
τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον
εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, κλίνας τὴν κεφαλήν, ἐπεύχεται μυστικῶς·

Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν Ἄρτον τοῦτον, καὶ τὸ Ποτήριον τοῦτο πίνητε, τὸν ἐμὸν θάνατον καταγγέλλετε, τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε.

Μεμνημένοι οὖν, Δέσποτα, καὶ ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ

Σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀνόδου, τῆς ἐκ δεξιῶν σου τοῦ Θεοῦ καὶ Πατρὸς καθέδρας, καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας·

Ἐκφώνως ὁ Ἱερεύς·

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Χορός· Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Καὶ κλίνας τὴν κεφαλήν, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Διὰ τοῦτο, Δέσποτα πανάγιε, καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, οὐ γὰρ ἐποιήσαμέν τι ἀγαθὸν ἐπὶ τῆς γῆς, ἀλλὰ διὰ τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου, οὓς ἐξέχεας πλουσίως ἐφ᾽ ἡμᾶς, θαῤῥοῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου Θυσιαστηρίῳ, καὶ προσθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν, Ἅγιε Ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ εὐλογῆσαι αὐτά, καὶ ἁγιάσαι, καὶ ἀναδεῖξαι.

Ὁ Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, ὅπερ ἐκράτει, ἢ τὸ Κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ· καὶ προσκυνοῦσιν ἀμφότεροι τρὶς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, εὐχόμενοι καθ᾽ ἑαυτοὺς τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Εἶτα τὴν κεφαλὴν ὑποκλίνας ὁ Διάκονος, δείκνυσι τῷ Ὡραρίῳ τὸν ἅγιον Ἄρτον, καὶ λέγει μυστικῶς·

Εὐλόγησον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Καὶ ὁ Ἱερεὺς ἀνιστάμενος σφραγίζει τὸν ἅγιον Ἄρτον, λέγων μυστικῶς·

Τὸν μὲν Ἄρτον τοῦτον, αὐτὸ τὸ τίμιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ αὖθις ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεὺς εὐλογῶν λέγει·

Τὸ δὲ Ποτήριον τοῦτο, αὐτὸ τὸ τίμιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ τρίτον ὁ αὐτός·

Εὐλόγησον, δέσποτα, τὰ ἀμφότερα.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν τὸ τρίτον ἀμφότερα, λέγει·

Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

Ὁ Διάκονος·

Ἀμήν, ἀμήν, ἀμήν.

Καὶ τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἱερεῖ, καὶ εἰπὼν τὸ Μνήσθητί μου, ἅγιε δέσποτα, τοῦ ἁμαρτωλοῦ, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, λαβὼν καὶ τὸ Ῥιπίδιον αὖθις ὡς πρότερον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς Ἄρτου καὶ τοῦ Ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνὸς Πνεύματος Ἁγίου κοινωνίαν, καὶ

μηδένα ἡμῶν εἰς κρίμα ἢ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου· ἀλλ' ἵνα εὕρωμεν ἔλεον καὶ χάριν, μετὰ πάντων τῶν Ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου·

Ἐκφώνως·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ Χορὸς ψάλλει· Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναέ, καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

Ὁ Διάκονος θυμιᾷ γύρωθεν τὴν ἁγίαν Τράπεζαν, καὶ τὰ δίπτυχα τῶν τε ζώντων καὶ κεκοιμημένων, ὧν βούλεται, μνημονεύει.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ Βαπτιστοῦ, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου τοῦ δεῖνος, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός.

Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Ἐνταῦθα ὁ Ἱερεὺς μνημονεύει, ὧν θέλει, τεθνεώτων·

Καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ἔτι σοῦ δεόμεθα· μνήσθητι, Κύριε, τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ εἰρήνευσον αὐτήν, ἣν περιεποιήσω τῷ τιμίῳ Αἵματι τοῦ Χριστοῦ σου, καὶ τὸν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι, Κύριε, τῶν τὰ δῶρά σοι ταῦτα προσκομισάντων, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν καὶ ἐφ' οἷς αὐτὰ προσεκόμισαν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτοὺς τοῖς πλουσίοις σου καὶ ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς ἀντὶ τῶν ἐπιγείων, τὰ ἐπουράνια· ἀντὶ τῶν προσκαίρων, τὰ αἰώνια· ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα. Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καὶ εὐλαβείᾳ, καὶ ἀσκήσει, καὶ σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων ἡμῶν βασιλέων, οὓς ἐδικαίωσας βασιλεύειν ἐπὶ τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπὶ τὴν κεφαλὴν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον

αὐτῶν τὸν βραχίονα· ὕψωσον αὐτῶν τὴν δεξιάν· κράτυνον αὐτῶν τὴν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τὰ βάρβαρα ἔθνη τὰ τοὺς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καὶ ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τὴν καρδίαν αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου· ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Μνήσθητι, Κύριε, πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ τῶν ἐν τῷ παλατίῳ ἀδελφῶν ἡμῶν, καὶ παντὸς τοῦ στρατοπέδου· τοὺς ἀγαθοὺς ἐν τῇ ἀγαθότητί σου διατήρησον· τοὺς πονηροὺς ἀγαθοὺς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ, καὶ τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων· καὶ ἐλέησον αὐτοὺς καὶ ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· τὰ ταμεῖα αὐτῶν ἔμπλησον παντὸς ἀγαθοῦ· τὰς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον· τὰ νήπια ἔκθρεψον· τὴν νεότητα παιδαγώγησον· τὸ γῆρας περικράτησον· τοὺς ὀλιγοψύχους παραμύθησον· τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε· τοὺς πεπλανημένους ἐπανάγαγε, καὶ σύναψον τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ· τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ῥῦσαι· νοσοῦντας ἴασαι· τῶν ἐν βήμασι, καὶ μετάλλοις, καὶ ἐξορίαις, καὶ πικραῖς δου-

λείαις, καὶ πάσῃ θλίψει καὶ ἀνάγκῃ, καὶ περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεός, καὶ πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας· καὶ τῶν ἀγαπώντων ἡμᾶς καὶ τῶν μισούντων, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ παντὸς τοῦ λαοῦ σου μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπὶ πάντας ἔκχεον τὸ πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τὰ πρὸς σωτηρίαν αἰτήματα. Καὶ ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν δι᾿ ἄγνοιαν, ἢ λήθην, ἢ πλῆθος ὀνομάτων, αὐτὸς μνημόνευσον, ὁ Θεός, ὁ εἰδὼς ἑκάστου τὴν ἡλικίαν καὶ τὴν προσηγορίαν, ὁ εἰδὼς ἕκαστον ἐκ κοιλίας μητρὸς αὐτοῦ. Σὺ γὰρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτὸς τοῖς πᾶσι τὰ πάντα γενοῦ, ὁ εἰδὼς ἕκαστον, καὶ τὰ αἰτήματα αὐτοῦ, οἶκον, καὶ τὴν χρείαν αὐτοῦ. Ῥῦσαι, Κύριε, τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, καὶ ἐμφυλίου πολέμου.

Καὶ ἐκφωνεῖ ὁ Ἱερεύς·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ παναγιωτάτου Πατρὸς ἡμῶν τοῦ δεῖνος Πάπα Ῥώμης, καὶ τοῦ μακαριωτάτου Πατριάρχου ἡμῶν τοῦ δεῖνος [ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου ἡμῶν τοῦ δεῖνος ], οὓς χάρισαι ταῖς ἁγίαις σου ἐκ-

κλησίαις, ἐν εἰρήνῃ, σώους, ἐντίμους, ὑγιεῖς, μακροημερεύοντας, καὶ ὀρθοτομοῦντας τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ ὁ Διάκονος, πρὸς τῇ Θύρᾳ στάς, μνημονεύει τῶν ζώντων· εἶτα δὲ ἐκφωνεῖ·

Καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια Δῶρα ταῦτα, εὐλαβεστάτου Ἱερέως τοῦ δεῖνος. Ὑπὲρ σωτηρίας τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, σωτηρίας τε καὶ βοηθείας τοῦ περιεστῶτος λαοῦ, καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Ὁ Χορός· Καὶ πάντων καὶ πασῶν.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τῆς ἐμῆς ἀναξιότητος. Συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον· καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων. Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος· καὶ μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τὸ ἅγιόν σου Θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε. Ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς. Εὐκράτους καὶ ἐπωφελεῖς τοὺς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικοὺς τῇ γῇ πρὸς καρποφορίαν δώρησαι· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.

Παῦσον τὰ σχίσματα τῶν ἐκκλησιῶν· σβέσον τὰ φρυάγματα τῶν ἐθνῶν· τὰς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τὴν βασιλείαν σου, υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας ἀναδείξας· τὴν σὴν εἰρήνην καὶ τὴν σὴν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Μετὰ ταῦτα, μνημονεύει ὁ Ἱερεὺς ὧν βούλεται ζώντων.

Ἐκφώνως·

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ στραφεὶς πρὸς τὸν λαόν, καὶ εὐλογῶν αὐτόν, λέγει ἐκφώνως·

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν.

Ὁ Χορός· Καὶ μετὰ τοῦ πνεύματός σου.

Καὶ ὁ Διάκονος ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, σὺ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπὲρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας καὶ ποιεῖς μεθ' ἡμῶν. Σύ, ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος τὰ δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου· ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ὑποδεχόμενοι τὴν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ Σώματι καὶ Αἵματι τοῦ Χριστοῦ σου· καὶ ὑποδεξάμενοι αὐτὰ ἀξίως, σχῶμεν τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καὶ γενώμεθα ναὸς τοῦ Ἁγίου σου Πνεύματος. Ναί, ὁ Θεὸς ἡμῶν, καὶ μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων καὶ ἐπουρανίων μυστηρίων, μηδὲ ἀσθενῆ ψυχῇ καὶ σώματι, ἐκ τοῦ ἀναξίως τούτων μεταλαμβάνειν· ἀλλὰ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου· ὅπως ἂν καὶ ἡμεῖς μετὰ πάντων τῶν Ἁγίων

τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς, ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρ-

ρησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ Λαός, ἢ εἰ ἔθος, ὁ Προεστώς·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Δέσποτα Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπόστησον, παντὶ δ' ἔργῳ ἀγαθῷ σύναψον· καὶ καταξίωσον ἀκατακρίτως

μετασχεῖν τῶν ἀχράντων σου τούτων καὶ ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν.

Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς ἐπεύχεται μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Εἶτα προσκυνεῖ ὁ Ἱερεύς, ὁμοίως καὶ ὁ Διάκονος ἐν ᾧ ἐστι τόπῳ, λέγοντες μυστικῶς τρίς·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ἐν τούτῳ δέ, ζώννυται ὁ Διάκονος τὸ Ὡράριον αὐτοῦ σταυροειδῶς.

Ὅταν δὲ ἴδῃ τὸν Ἱερέα ἐκτείνοντα τὰς χεῖρας, καὶ ἁπτόμενον τοῦ ἁγίου Ἄρτου, πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν Ὕψωσιν, ἐκφωνεῖ·

Πρόσχωμεν.

Καὶ ὁ Ἱερεύς, ὑψῶν τὸν ἅγιον Ἄρτον, ἐκφωνεῖ·

**Τὰ Ἅγια τοῖς Ἁγίοις.**

Ὁ Χορός· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καὶ ψάλλεται τὸ Κοινωνικὸν τῆς ἡμέρας, ἢ τῆς Ἑορτῆς.

Εἶτα ὁ Διάκονος εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα, καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως κρατοῦντος τὸν ἅγιον Ἄρτον, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεύς, μελίζων αὐτὸν εἰς τέσσαρας μερίδας, μετὰ προσοχῆς καὶ εὐλαβείας, λέγει·

**Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.**

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς, οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ὁ Διάκονος δεικνύων σὺν τῷ Ὠραρίῳ τὸ ἅγιον Ποτήριον, λέγει·

Πλήρωσον, δέσποτα, τὸ ἅγιον Ποτήριον.

Ὁ δὲ Ἱερεύς, λαβὼν τὴν ἄνω κειμένην μερίδα, ποιεῖ σὺν αὐτῇ σταυρὸν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγων·

Πλήρωμα πίστεως Πνεύματος Ἁγίου.

Καὶ οὕτως ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον Ποτήριον.

Ὁ Διάκονος·

Ἀμήν.

Καὶ δεχόμενος τὸ Ζέον, λέγει πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὸ Ζέον.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος ἐκχέει, λέγων·

Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου.

Ὁ δὲ Ἱερεύς, κλίνας τὴν κεφαλήν, προσεύχεται λέγων·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καί, εἰ βούλεται·

Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ' ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ· καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω, Δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν· ἀλλ' ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου Σώματος καὶ Αἵματός σου.

Ὁ Θεὸς ἡμῶν, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου Μητρός, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὸ τίμιον καὶ ἄχραντον Σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τελευταῖον τὸ

Μή μοι εἰς κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ' εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἁγίου Ἄρτου μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει·

Διάκονε, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος·

Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, πρὸς τὸν Διάκονον·

Μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον Σῶμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ὁ δὲ Διάκονος ἀπέρχεται καὶ μεταλαμβάνει.

Εἶτα, λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον, λέγει·

Ἔτι μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ μεταλαβὼν τρὶς ἐξ αὐτοῦ, καὶ ἀποσπογγίσας, διὰ τοῦ ἐν χερσὶ Καλύμματος, τά τε χείλη καὶ τὸ ἅγιον Ποτήριον, ἀσπάζεται αὐτὸ λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καὶ ἀφελεῖ τὰς ἀνομίας μου, καὶ τὰς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα λέγει τῷ Διακόνῳ·

Διάκονε, ἔτι πρόσελθε.

Ὁ δὲ Διάκονος·

Ἔτι προσέρχομαι τῷ ἀθανάτῳ Βασιλεῖ. Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, μεταδιδοὺς αὐτῷ τρὶς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει·

Ἔτι μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Μεταλαβόντος δὲ τοῦ Διακόνου, λέγει ὁ Ἱερεύς·

Τοῦτο ἥψατο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

Κἀνταῦθα ὁ Διάκονος ταὐτὰ ποιεῖ ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ. Εἶτα λέγει·

Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.

Ὁ Χορός· Ἀμήν, ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Καὶ οἱ πιστοὶ προσέρχονται εἰς τὸ κοινωνεῖν. Ὁ δὲ Ἱερεύς, μεταδιδοὺς ἑκάστῳ, λέγει·

Μεταλαμβάνει ὁ δοῦλος (ἢ ἡ δούλη) τοῦ Θεοῦ καὶ ἐπιλέγει τὸ ὄνομα τὸ τίμιον καὶ ἅγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν αὐτοῦ (ἢ αὐτῆς) ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ἐν δὲ τῷ κοινωνεῖν τοὺς πιστούς, οἱ Χοροὶ ψάλλουσιν, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ.

Μετὰ τὴν θείαν μετάληψιν, ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, ἐκφωνεῖ·

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.**

Ὁ Χορός· Εἴδομεν τὸ φῶς... καὶ τὰ λοιπά, ἢ τὸ Τροπάριον τῆς ἑορτῆς.

Καὶ θυμιᾷ ὁ Ἱερεὺς τρίς, λέγων καθ' ἑαυτόν·

**Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.**

Εἶτα, προσκυνήσας λέγει μυστικῶς·

**Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,**

καὶ ἐκφώνως·

**πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν. Καί, εἰ ἔθος, τὸ Πληρωθήτω...

Ὁ Διάκονος·

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ δὲ Ἱερεὺς ἐπιλέγει μυστικῶς τὴν τῆς εὐχαριστίας Εὐχήν·

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρανίων σου μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ᾽ εὐεργεσίᾳ, καὶ ἁγιασμῷ, καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· αὐτός, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἰ δὲ βούλεται ὁ Ἱερεύς, ἀντὶ τῆς προγεγραμμένης Εὐχῆς, λέγει τὴν ἐφεξῆς·

Ὁ θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον, τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον θυσίαν προσδεχόμενος παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ Ἀμνὸς καὶ Υἱὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ μόσχος ὁ ἄμωμος, ὁ μὴ δεχόμενος ἁμαρτίας ζυγὸν καὶ τυθεὶς δι᾽ ἡμᾶς ἑκών· ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, τοὺς δὲ ἐσθίοντας

ἁγιάζων· ὁ εἰς ἀνάμνησιν τοῦ ἑκουσίου Πάθους σου, καὶ τῆς ζωοποιοῦ τριημέρου Ἐγέρσεώς σου, κοινωνοὺς ἡμᾶς ἀναδείξας τῶν ἀῤῥήτων καὶ ἐπουρανίων καὶ φρικτῶν σου Μυστηρίων τοῦ ἁγίου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος· τήρησον ἡμᾶς τοὺς δούλους σου, τοὺς διακόνους καὶ τοὺς πιστοὺς ἡμῶν Βασιλεῖς καὶ τὸν φιλόχριστον στρατὸν καὶ τὸν περιεστῶτα λαὸν ἐν τῷ σῷ ἁγιασμῷ. Καὶ δὸς ἡμῖν ἐν παντὶ χρόνῳ καὶ καιρῷ μελετᾷν τὴν σὴν δικαιοσύνην, ὅπως, πρὸς τὸ σὸν θέλημα ὁδηγηθέντες καὶ τὰ εὐάρεστά σοι ποιήσαντες, ἄξιοι γενώμεθα καὶ τῆς ἐκ δεξιῶν σου παραστάσεως, ὅταν ἐλεύσῃ κρῖναι ζῶντας καὶ νεκρούς. Τοὺς ἐν αἰχμαλωσίᾳ ἀδελφοὺς ἡμῶν ἀνάῤῥυσαι, τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, τοὺς ἐν κινδύνοις θαλάσσης κυβέρνησον, καὶ τὰς προαναπαυσαμένας ψυχὰς ἐπ᾽ἐλπίδι ζωῆς αἰωνίου ἀνάπαυσον, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ πάντων τῶν δεομένων τῆς σῆς βοηθείας ἐπάκουσον. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Τρίς.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν· καὶ στραφεὶς πρὸς τὴν Πρόθεσιν λέγει τὴν παροῦσαν Εὐχήν.

Εὐχὴ λεγομένη μυστικῶς, πρὸ τοῦ συστεῖλαι τὸν Διάκονον τὰ Ἅγια·

Ἤνυσται καὶ τετέλεσται, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὸ τῆς σῆς οἰκονομίας μυστήριον. Ἔσχομεν γὰρ τοῦ θανάτου σου τὴν μνήμην· εἴδομεν τῆς ἀναστάσεώς σου τὸν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καὶ ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον. Χάριτι τοῦ ἀνάρχου σου Πατρός, καὶ τοῦ ἁγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐφ' ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ λαός, ἢ ὁ Ἀναγνώστης·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα ἅγιε, εὐλόγησον.

Καὶ ποιεῖ ὁ Ἱερεὺς Ἀπόλυσιν·

Εἴπερ ἐστὶ Κυριακή· Ὁ ἀναστὰς ἐκ νεκρῶν, (εἰ δὲ μή·) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσ-

βείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, καὶ τὰ λοιπὰ κατὰ τὴν ἡμέραν, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας, τοῦ Μεγάλου, τοῦ ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα δίδωσιν ὁ Ἱερεὺς τῷ λαῷ τὸ ἀντίδωρον, λέγων ἑνὶ ἑκάστῳ·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐπὶ σέ.

Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον Βῆμα, ἀποδύεται τὴν ἱερατικὴν στολήν, λέγων·

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Τὸ Τρισάγιον, καὶ τὰ λοιπά. Ἀπολυτίκιον τῆς ἡμέρας, εἰ θέλει, ἔπειτα τὸ Τροπάριον τοῦ Μεγάλου Βασιλείου·

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου,* ὡς δεξαμένην τὸν λόγον σου,* δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας·* τὴν φύσιν τῶν ὄντων ἐτράνωσας,* τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας,* Βασίλειον ἱεράτευμα,* Πάτερ ὅσιε,* Χριστὸν τὸν Θεὸν ἱκέτευε* δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ Κοντάκιον

Ὤφθης βάσις ἄσειστος* τῇ Ἐκκλησίᾳ,*

νέμων πᾶσιν ἄσυλον* τὴν κυριότητα βροτοῖς,* ἐπισφραγίζων σοῖς δόγμασιν,* Οὐρανοφάντορ,* Βασίλειε ὅσιε.

Κύριε ἐλέησον, ιβ΄. Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν...

Καὶ ποιεῖ Ἀπόλυσιν.

---

Ἐν ταῖς τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων Παραμοναῖς, παρατίθεται Τροπάρια σὺν στίχοις μετὰ τὸ πρῶτον καὶ τὸ δεύτερον τῶν τριῶν Ἀναγνωσμάτων. Μετὰ δὲ τὸ τελευταῖον Ἀνάγνωσμα, γίνεται ἡ μικρὰ Συναπτή, καὶ ὁ Ἱερεὺς λέγει μυστικῶς τὴν Εὐχὴν τοῦ Τρισαγίου. Τὰ δ' ἄλλα πάντα ὡς ἐν τῇ ἡμερινῇ Λειτουργίᾳ.

---

Τέλος τῆς Θείας Λειτουργίας τοῦ Μεγάλου Βασιλείου



# ΑΚΟΛΟΥΘΙΑ
# ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ
## ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ

Εὐλογήσαντος τοῦ Ἱερέως, καὶ τοῦ Προοιμιακοῦ στιχολογηθέντος, μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὰ Πρὸς Κύριον...

### ΨΑΛΜΟΣ ΡΙΘ΄. 119.

Ὠδὴ τῶν Ἀναβαθμῶν.

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν.

### ΨΑΛΜΟΣ ΡΚ΄. 120.

Ὠδὴ τῶν Ἀναβαθμῶν.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα δεξιάν σου. Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ ΡΚΑ΄. 121.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τοῦ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου, καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι.

## ΨΑΛΜΟΣ ΡΚΒ΄. 122.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

## ΨΑΛΜΟΣ ΡΚΓ΄. 123.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ, εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾿ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς, ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾿ ἡμᾶς· ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. Ἡ βοή-

θεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. Τρίς. Κύριε, ἐλέησον. Τρίς. Δόξα... Καὶ νῦν...

## ΨΑΛΜΟΣ ΡΚΔ΄. 124.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

## ΨΑΛΜΟΣ ΡΚΕ΄. 125.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾿ αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾿ ἡμῶν· ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο, καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει, αἴροντες τὰ δράγματα αὐτῶν.

## ΨΑΛΜΟΣ ΡΚϜ΄. 126.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τοῦ ὀρθρίζειν, ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγα-

πητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος, ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

## ΨΑΛΜΟΣ ΡΚΖ΄. 127.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ.

## ΨΑΛΜΟΣ ΡΚΗ΄. 128.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τοῦ νώτου μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν, καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπον οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ᾿ ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. Τρίς. Κύριε, ἐλέησον. Τρίς. Δόξα... Καὶ νῦν...

## ΨΑΛΜΟΣ ΡΚΘ΄. 129.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φω-

νῆς μου. Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΛ΄. 130.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδόσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ ΡΛΑ΄. 131.

### Ὠδὴ τῶν Ἀναβαθμῶν.

Μνήσθητι, Κύριε, τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ, ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν· Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος

καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος· ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ· ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

## ΨΑΛΜΟΣ ΡΛΒʹ. 132.

### ᾨδὴ τῶν Ἀναβαθμῶν.

Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ᾿ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό ; Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. Ὡς δρόσος Ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος.

## ΨΑΛΜΟΣ ΡΛΓʹ. 133.

### ᾨδὴ τῶν Ἀναβαθμῶν.

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. Τρίς.

Εἰς δὲ τὸ Κύριε ἐκέκραξα... ἱστῶμεν Στιχ. ιʹ, καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας, δίς, καὶ τὸ Μαρτυρικόν, καὶ τὰ τρία Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου τὰ τρία, εἰς Στιχ. δʹ. Δόξα... Καὶ νῦν... Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Ἐὰν δὲ κατὰ τὴν ὥραν μὴ εὑρεθῇ Τριῴδιον, λέγε τὸ παρὸν Ἰδιόμελον, καὶ τὰ λοιπά.

### Στιχηρὰ Ἰδιόμελα. Ἦχος αʹ.

Τὴν πνευματικήν, ἀδελφοί,* ἀναλαβόντες νηστείαν,* τῇ γλώσσῃ μὴ λαλεῖτε τὰ δόλια·* μηδὲ τίθεσθε πρόσκομμα* τῷ

ἀδελφῷ εἰς σκάνδαλον· * ἀλλὰ τῇ μετανοίᾳ φαιδρύναντες * τὴν τῆς ψυχῆς λαμπάδα, τοῖς δάκρυσι * βοήσωμεν τῷ Χριστῷ· * ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, * ὡς φιλάνθρωπος.

Εἶτα τὸ Μαρτυρικόν.

Πανεύφημοι Μάρτυρες, * ὑμᾶς * οὐχ ἡ γῆ κατέκρυφεν, * ἀλλ᾽ οὐρανὸς ὑπεδέξατο· * ἠνοίγησαν ὑμῖν * Παραδείσου πύλαι, * καὶ ἐντὸς γενόμενοι, * τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε. * Χριστῷ πρεσβεύσατε, * δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν * τὴν εἰρήνην * καὶ τὸ μέγα ἔλεος.

Ἕτερα Στιχηρά. Ἦχος ὁ αὐτός· Πανεύφημοι Μάρτυρες.

Νηστείαν ποθήσωμεν * ψυχῆς, * πάθη χαλεπώτατα * τῇ συνεργείᾳ τοῦ Πνεύματος * καταμαραίνουσαν, * καὶ ἐνθέους πράξεις * πράττειν ἐνισχύουσαν, * καὶ νοῦν πρὸς οὐρανὸν ἀναπέμπουσαν, * καὶ τὴν συγχώρησιν * προξενοῦσαν ὧν ἡμάρτομεν, * δωρουμένην * ἐκ Θεοῦ οἰκτίρμονος.

Ὅμοιον.

Ἅπαντα τὸν βίον μου * αἰσχρῶς * δαπανήσας, Κύριε, * μετὰ πορνῶν ὁ ταλαίπωρος, * ὥσπερ ὁ Ἄσωτος, * κατανύξει κράζω· * Πάτερ ἐπουράνιε, * ἥμαρτηκα. Ἱλάσθητι, * δέξαι με, * καὶ μὴ ἀπώσῃ με, * ἐμαυτὸν ἐκ σοῦ μακρύναντα, * καὶ ἐνθέοις * ἔργοις νῦν πτωχεύσαντα.

Ἕτερα Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δίδου μοι κατάνυξιν, * καὶ τῶν κακῶν ἀπολύτρωσιν, * καὶ τοῦ βίου διόρθωσιν, * εἰς πάθη τοῦ σώματος, * νῦν βεβυθισμένῳ, * καὶ μεμακρυμένῳ * ἐκ σοῦ, Θεὲ παμβασιλεῦ, * καὶ μηδαμόθεν ἐλπίδα ἔχοντι· * καὶ σῶσόν με τὸν ἄσωτον * διὰ πολλὴν ἀγαθότητα, * Ἰησοῦ παντοδύναμε, * ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον.

Μωσῆς ὁ θεσπέσιος * διὰ νηστείας τεθέαται * καθαρθεὶς τὸν ποθούμενον· * τοῦτον οὖν ζηλώσασα, * ταπεινὴ ψυχή μου, * σπεῦσον, ἐν ἡμέρᾳ * τῆς ἐγκρατείας, τῶν κακῶν * ἐκκαθαρθῆναι, ὅπως τὸν Κύριον, * διδόντα σοι τὴν ἄφεσιν * καὶ ἱλασμὸν καὶ τὴν λύτρωσιν * θεωρήσῃς, ὑπάρχοντα * ἀγαθὸν καὶ φιλάνθρωπον.

Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Εἴσοδος. Προκείμενον· Ἦχος δ΄.

Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Στίχ. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;

Γενέσεως τὸ Ἀνάγνωσμα. Κεφ. ζ΄. 6.

Νῶε ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς. Εἰσῆλθε δὲ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ εἰς τὴν κιβωτόν, διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ. Καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς, δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο αὐτῷ ὁ Θεός.

Προκείμενον. Ἦχος πλ. α΄.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι.

Στίχ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. Κεφ. θ΄. 12.

Υἱέ, ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀναντλήσεις κακά. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ᾽ αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι᾽ ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Γυνὴ ἄφρων καὶ θρασεῖα, ἐνδεὴς ψωμοῦ γίνεται, ἣ οὐκ ἐπίσταται αἰσχύνην· ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου ἐπὶ δίφρου ἐμφανῶς ἐν ταῖς πλατείαις, προσκαλουμένη τοὺς παριόντας, καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· Ὃς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρονήσεως παρακελεύομαι, λέγουσα· ἄρτων κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ. Ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ᾽ αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. Ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν· οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον. Ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολὺν ζήσῃς χρόνον, προστεθῇ δέ σοι ἔτη ζωῆς.

Εἶτα τὸ Κατευθυνθήτω... καὶ καθεξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ, ὅτε μέλλει ὁ Ἱερεὺς ποιεῖν Προηγιασμένην, ἐν τῇ Προσκομιδῇ τῆς Κυριακῆς, ποιεῖ ὡς σύνηθες. Καὶ μετὰ τὸ περικόψαι τὸν πρῶτον Ἄρτον, καὶ θῦσαι καὶ κεντῆσαι, περικόπτει καὶ τοὺς ἑτέρους Ἄρτους, λέγων εἰς ἕνα ἕκαστον τὸ Εἰς ἀνάμνησιν... Ὡς πρόβατον... Θύεται... Εἷς τῶν στρατιωτῶν...

Εἶθ᾽ οὕτως ἐγχέει ἐν τῷ ἁγίῳ Ποτηρίῳ οἶνον καὶ ὕδωρ, λέγων τὰ συνήθη, καὶ συγκαλύπτει αὐτὰ μετὰ τῶν ἱερῶν Καλυμμάτων, καὶ θυμιᾷ, λέγων τὴν Εὐχὴν τῆς Προθέσεως· καὶ οὕτως ἄρχεται τῆς θείας Λειτουργίας, καὶ ἐκπληροῖ αὐτὴν ὡς ἔθος.

Ἐν δὲ τῇ Λειτουργίᾳ, ὅτε μέλλει σφραγίσειν τοὺς Ἄρτους, λέγει· Ποίησον τὸν μὲν Ἄρτον τοῦτον... ἑνικῶς, ὡς εἷς ἐστιν ὁ Χριστός. Καὶ ὅτε μέλλει ὑψώσειν, ὑψοῖ ὅλους ὁμοῦ, καὶ μελίζει τὸν προσκομιζόμενον πρῶτον Ἄρτον, καὶ τίθησι τὴν μερίδα ἐν τῷ ἁγίῳ Ποτηρίῳ, ἐγχέει καὶ τὸ ζέον, ὡς ἔθος. Εἶτα λαβὼν τὴν ἁγίαν λαβίδα μετὰ τῆς δεξιᾶς χειρός, βάπτει αὐτὴν ἐν τῷ ἁγίῳ Αἵματι. Τῇ δὲ ἀριστερᾷ χειρί, λαμβάνει ἕκαστον Ἄρτον, καὶ εἰσφέρει τὴν ἁγίαν λαβίδα, ἐν τῷ ἁγίῳ Αἵματι βεβαμμένην, καὶ ἐγγίζει αὐτὴν τῷ ἁγίῳ Ἄρτῳ σταυροειδῶς ἐν τῷ μέρει, ἐν ᾧ ἐχαράχθη ὁ Σταυρὸς ὑπὸ τὴν ψίχα, καὶ ἀποτίθησι τοῦτον ἐν τῷ Ἀρτοφορίῳ. Εἶτα λαμβάνει καὶ τοὺς ἑτέρους, καὶ ποιεῖ ὡσαύτως εἰς ἕνα ἕκαστον, καὶ συστέλλει αὐτοὺς πάντας ἐν τῷ Ἀρτοφορίῳ. Ἔπειτα εὔχεται ὁ Ἱερεὺς ὡς σύνηθες, καὶ μεταδίδοται ὡς σύνηθες, καὶ ἐκπληροῖ τὴν θείαν μυσταγωγίαν κατὰ τὸ διατεταγμένον.

Ὅτε δὲ μέλλει ἱερουργήσειν Προηγιασμένην, μετὰ τὴν τῶν Ὡρῶν συμπλήρωσιν, εἰσελθὼν εἰς τὸ Ἱερατεῖον, εἰς τὸ τέλος τῶν Τυπικῶν, ἐνδύεται τὴν ἱερατικὴν στολήν, σφραγίζων καὶ ἀσπα-

ζόμενος μόνον, οὐδὲν ἐπιλέγων, εἰ μὴ Τοῦ Κυρίου δεηθῶμεν, εἰς ἓν ἕκαστον τῶν ἐνδυμάτων· ὡσαύτως καὶ ὁ Διάκονος.

Τότε ὁ Διάκονος, λαβὼν καιρόν, ἐξέρχεται καὶ ἐκφωνεῖ·

Εὐλόγησον, δέσποτα.

Καὶ ὁ Ἱερεὺς ἐκφώνως·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ εὐθὺς ὁ Ἐκκλησιάρχης τὸ Δεῦτε, προσκυνήσωμεν... τρίς, καὶ λέγεται ὁ Προοιμιακὸς Ψαλμός. Ὁ δὲ Ἱερεὺς λέγει τὰς Εὐχὰς τοῦ Λυχνικοῦ, ἀπὸ τῆς τετάρτης, ὅτι αἱ τρεῖς πρῶται λέγονται μετὰ τὰς Συναπτάς.

### Εὐχὴ δ΄.

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ὑπὸ τῶν ἁγίων Δυνάμεων ἀνυμνούμενος, πλήρωσον τὸ στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ὀνόματί σου τῷ ἁγίῳ· καὶ δὸς ἡμῖν μερίδα καὶ κλῆρον μετὰ πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καὶ φυλασσόντων τὰς ἐντολάς σου, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ε΄.

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τὰ σύμπαντα, ὁ μακροθυμῶν ἐπὶ πάντας ἡμᾶς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καὶ τοῦ ἐλέους σου. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καὶ δὸς ἡμῖν διαφυγεῖν καὶ τὸ λοιπὸν τῆς παρούσης ἡμέρας ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων· καὶ ἀνεπιβούλευτον τὴν ζωὴν ἡμῶν διαφύλαξον τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος.

Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ στ΄.

Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὰ σύμπαντα, ὁ καὶ τὰ ἐγκόσμια ἀγαθὰ ἡμῖν δωρησάμενος, καὶ κατεγγυήσας ἡμῖν τὴν ἐπηγγελμένην βασιλείαν διὰ ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καὶ τῆς νῦν ἡμέρας τὸ παρελθὸν μέρος ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ· δώρησαι ἡμῖν καὶ τὸ ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντάς σε τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν.

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ ζ'.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρίσας ἀναμέσον τοῦ φωτὸς καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δὲ καὶ ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλούς, καὶ ἐπὶ τῆς παρούσης ὥρας προφθᾶσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν· αὐτός, φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας· παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου· καὶ δὸς ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ, ἵνα καὶ ἐπὶ ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν ἐν νυκτὶ τοῦ ὀνόματός σου, καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει

ψυχῆς διαναστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ παντὸς τοῦ λαοῦ σου· ὃν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ μετὰ τὸν Προοιμιακόν, λέγει ὁ Διάκονος τὰ Εἰρηνικά, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Βασιλέως ἡμῶν (ἢ τῶν ἀρχόντων ἡμῶν), παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτοῦ (ἢ αὐτῶν), τοῦ Κυρίου δεηθῶμεν.

[Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ τοῦ ὑποτάξαι ὑπὸ

τοὺς πόδας αὐτοῦ ( ἢ αὐτῶν ) πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν. ]

Ὑπὲρ τῆς πόλεως ( ἢ τῆς ἁγίας μονῆς, ἢ τῆς χώρας ) ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου α΄. Μυστικῶς.

Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τὰς καρδίας ἡμῶν, εἰς τὸ φοβεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον, διότι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια. Σὺ εἶ Θεὸς μόνος, καὶ οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, δυνατὸς

ἐν ἐλέει, καὶ ἀγαθὸς ἐν ἰσχύϊ, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομά σου τὸ ἅγιον.

Ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ μετὰ τὴν Ἐκφώνησιν, στιχολογεῖται τὸ Κάθισμα ΙΗ΄. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα. . ., γινομένων καὶ μετανοιῶν εἰς τὸ Ἀλληλούϊα. Ἐν ἑκάστῳ δὲ Ἀντιφώνῳ γίνεται Συναπτὴ μικρὰ παρὰ τοῦ Διακόνου, καὶ ἡ Ἐκφώνησις παρὰ τοῦ Ἱερέως.

Ἀρξαμένης δὲ τῆς Στιχολογίας, ἀπέρχεται ὁ Ἱερεὺς εἰς τὴν ἁγίαν Πρόθεσιν, καὶ λαβὼν τὸν προηγιασμένον Ἄρτον ἐκ τοῦ Ἀρτοφορίου, τίθησιν αὐτὸν μετ᾽ εὐλαβείας πολλῆς ἐν τῷ ἁγίῳ Δίσκῳ, βαλὼν καὶ εἰς τὸ ἅγιον Ποτήριον οἶνον καὶ ὕδωρ ὡς συνήθως, σιωπῶν, καὶ οὐδὲν λέγων. Καὶ λαβὼν θυμίαμα, θυμιᾷ τὸν Ἀστερίσκον καὶ τὰ Καλύμματα, καὶ περικαλύπτει τὰ ἅγια Δῶρα, οὐδὲν ὅλως λέγων, οὐδὲ τὴν Εὐχὴν τῆς Προθέσεως, ἀλλ᾽ ἢ μόνον τὸ Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν. Προηγιασμένη γάρ ἐστι καὶ τετελειωμένη αὕτη ἡ Θυσία.

---

Εἰ δὲ τὸ ἅγιον Ἀρτοφόριον κεῖται ἀκινήτως ἐν τῇ Ἁγίᾳ Τραπέζῃ, ἡ μεταφορὰ τοῦ προηγιασμένου Ἄρτου εἰς τὴν Πρόθεσιν γίνεται οὕτως·

Ὁ Ἱερεὺς ἀσκεπὴς θυμιᾷ τρίς, καὶ ποιήσας τρεῖς μεγάλας μετανοίας, λαμβάνει τὸν προηγιασμένον Ἄρτον ἐκ τοῦ Ἀρτοφορίου, τίθησιν αὐτὸν μετὰ πάσης εὐλαβείας ἐν τῷ ἁγίῳ Δίσκῳ, καὶ θυμιάσας τὸν Ἀστερίσκον καὶ τὸ πρῶτον Κάλυμμα, περικαλύπτει τὸν ἅγιον Ἄρτον, οὐδὲν λέγων.

Ἔπειτα, προπορευομένου τοῦ Διακόνου μετὰ λαμπάδος, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν γύρωθεν τρίς. Καὶ ποιήσας μεγάλην μετάνοιαν ἐνώπιον τῶν ἁγίων Δώρων, ἐπαίρει αὐτὰ μετ᾽ εὐλαβείας ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ προπορευομένου τοῦ Διακόνου μετὰ λαμπάδος καὶ Θυμιατηρίου, ἀπέρχεται εἰς τὴν ἁγίαν Πρόθεσιν.

Εἶτα βάλλει ἐν τῷ ἁγίῳ Ποτηρίῳ οἶνον καὶ ὕδωρ ὡς σύνηθες, οὐδὲν λέγων. Καὶ λαβὼν τὸ Θυμιατήριον, θυμιᾷ τὰ Καλύμματα, καὶ περικαλύπτει τὰ ἅγια Δῶρα διὰ τοῦ Ἀέρος, οὐδὲν ἄλλον λέγων, οὐδὲ τὴν Εὐχὴν τῆς Προθέσεως, εἰ μὴ τὸ Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

---

Ὁ Διάκονος, μετὰ τὸ Δόξα Πατρί...

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου β᾽. Μυστικῶς.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ἰατρὲ καὶ θεραπευτὰ τῶν ψυχῶν ἡμῶν· ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου· φώτισον τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καὶ δώρησαι ἡμῖν τὸ λοιπὸν τῆς παρού-

σης ἡμέρας εἰρηνικὸν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων.

Ἐκφώνως·

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος μετὰ τὸ Δόξα Πατρί...

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ Ἀντιφώνου γ΄. Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τὸ ἅγιον ὄνομά σου· καὶ μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλὰ χάρισαι ἡμῖν, Κύριε, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· καὶ ἀξίωσον ἡ-

μᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου.

Ἐκφώνως·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος, μετὰ τὸ Δόξα Πατρί...

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε,

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ Κύριε ἐκέκραξα... εἰς τὸν Ἦχον τοῦ Ἰδιομέλου τῆς ἡμέρας, καὶ ἱστῶμεν Στιχ. ι΄, καὶ δευτεροῦμεν τὸ Ἰδιόμελον· εἶτα τὸ Μαρτυρικόν, τὰ τρία Προσόμοια τοῦ Τριῳδίου,

καὶ τὰ τρία τοῦ Μηναίου, δευτεροῦντες τὸ πρῶτον. Δόξα... Καὶ νῦν... Θεοτοκίον.

Εἴσοδος ἄνευ Εὐαγγελίου. Ὅτε δὲ μέλλει εἰπεῖν Εὐαγγέλιον, ἤγουν, τῇ ἑορτῇ τοῦ ἁγίου Χαραλάμπους, τῇ Εὑρέσει τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου, τῇ μνήμῃ τῶν ἁγίων τεσσαράκοντα Μαρτύρων, καὶ ταῖς πρώταις τρισὶν ἡμέραις τῆς Μεγάλης Ἑβδομάδος, τότε εἰσοδεύει μετὰ τοῦ Εὐαγγελίου.

Τοῦ Διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἱερεὺς μυστικῶς τὴν Εὐχὴν τῆς Εἰσόδου.

Εὐχὴ τῆς Εἰσόδου.

Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καὶ δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τὴν προσευχὴν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τὰς ψυχὰς ἡμῶν· ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοὶ ἡμῶν, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν, μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεὸς ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ λέγει ὁ Διάκονος πρὸς τὸν Ἱερέα·

Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ Ἱερεὺς εὐλογῶν λέγει μυστικῶς·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἀμήν.

Πληρωθέντος δὲ τοῦ Θεοτοκίου, εἰσέρχεται ὁ Διάκονος εἰς τὸ μέσον, καὶ χαράξας σταυρὸν μετὰ τοῦ Θυμιατηρίου, ἢ ἀνυψῶν τὸ ἅγιον Εὐαγγέλιον, ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Μετὰ δὲ τὸ Φῶς ἱλαρόν, ὁ Διάκονος ἐκφωνεῖ· Ἑσπέρας Προκείμενον. Ὁ Ἀναγνώστης λέγει τὸ Προκείμενον καὶ τὸν Στίχον. Ὁ Διάκονος· Σοφία. Ὁ Ἀναγνώστης· Γενέσεως, ἢ τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. Ὁ Διάκονος· Πρόσχωμεν. Καὶ ἀναγινώσκει ὁ Ἀναγνώστης τὴν τῆς ἡμέρας περικοπὴν τῆς Γενέσεως ἢ τῆς Ἐξόδου, καὶ μετὰ τὴν συμπλήρωσιν, τὸ Προκείμενον καὶ τὸν Στίχον τοῦ δευτέρου ἀναγνώσματος, μεθ᾿ ὃν ἐκφωνεῖ ὁ Διάκονος·

Κέλευσον.

Ὁ δὲ Ἱερεύς, λαβὼν τῇ δεξιᾷ χειρὶ Θυμιατήριον [καὶ μανουάλιον μετὰ κηροῦ, ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης, καὶ σφραγίζων Σταυρόν, λέγει· Σοφία· ὀρθοί. Εἶτα στραφεὶς πρὸς τὸν λαόν, καὶ εὐλογῶν διὰ τῆς λαμπάδος σταυροειδῶς, ἐκφωνεῖ·

Φῶς Χριστοῦ φαίνει πᾶσι.

Ὁ Ἀναγνώστης· Παροιμιῶν, ἢ Ἰὼβ τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν.

Καὶ ἀναγινώσκει ὁ Ἀναγνώστης τὴν τῆς ἡμέρας περικοπὴν τῶν Παροιμιῶν ἢ τοῦ Ἰώβ. Εἰ δὲ ἐν τῇ ἑπομένῃ ἡμέρᾳ γίνεται Ἀγρυπνία, ἢ ἑορτὴ μετὰ Πολυελέου, ἀναγινώσκονται αἱ περικοπαὶ τῆς ἑορτῆς, ἢ τοῦ ἑορταζομένου Ἁγίου.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ δευτέρου ἀναγνώσματος, ὁ ψάλτης, ἤ, εἰ ἔθος, ὁ Ἱερεύς, στὰς πρὸ τῆς ἁγίας Τραπέζης μετὰ Θυμιατηρίου, ψάλλει τὸ Κατευθυνθήτω σεμνῶς καὶ κατανυκτικῶς, τῇ μὲν πρώτῃ, καὶ τῇ Μεγάλῃ Ἑβδομάδι, ὡς καὶ εἰ τύχοι ἑορτή, ἀργῶς, εἰς ἦχον πλ. β᾿· ἐν ταῖς λοιπαῖς Προηγιασμέναις, εἱρμολογικῶς εἰς ἦχον πλ. α᾿.

Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

Εἶτα ἐπαναλαμβάνουσι τὸ αὐτό, εἰς τὸν αὐτὸν ἦχον, οἱ Χοροὶ ἐναλλὰξ τετράκις, κάτω τῶν στασιδίων, τοῦ Ἱερέως ἐν ἑκάστῳ Στίχῳ θυμιῶντος κύκλῳ ἑκάστην πλευρὰν τῆς ἁγίας Τραπέζης, καὶ λέγοντος αὐτοῦ ἢ τοῦ Ἀναγνώστου τοὺς ἑξῆς Στίχους·

Στίχος α΄.

Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.

Στίχος β΄.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Στίχος γ΄.

Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ οὕτως ὁ Ἱερεύς, ἐπὶ τῆς πρώτης ἐπανελθὼν πλευρᾶς, ἐπαναλαμβάνει, ψάλλων ὁμοίως τὸ αὐτὸ Κατευθυνθήτω... μέχρι τοῦ ὡς θυμίαμα ἐνώπιόν σου, τοῦ πρώτου Χοροῦ ψάλλοντος τὸ ἐπίλοιπον τῆς ψαλμῳδίας.

Ἰστέον ὅτι, ὅταν ὁ Ἀναγνώστης ἢ ὁ Ἱερεὺς ψάλλῃ Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου, πάντες οἱ ἑστῶτες ἐν τῷ Ναῷ καὶ ἐν τῷ Ἱερῷ κλίνουσι τὰ γόνατα εὐχόμενοι. Ὅταν δὲ ἄρχηται ἔπαρσις τῶν χειρῶν μου, ἀνίστανται. Ἐν λοιποῖς δὲ Στίχοις τῆς ψαλμῳδίας Κατευθυνθήτω, ὅταν ἕκαστος τῶν Χορῶν ψάλλῃ, πᾶς ὁ λαὸς ἐκ ταύτης τῆς μερίδος ἀνίσταται, ὁ δὲ

ἕτερος Χορὸς καὶ ὁ λαὸς τῆς αὐτοῦ μερίδος κλίνουσι τὰ γόνατα. Ὁ δὲ Ἱερεύς, στὰς ἐν τῷ Ἱερῷ πρὸ τῆς ἁγίας Τραπέζης, θυμιᾷ.

Μετὰ δὲ τὸ τελευταῖον Κατευθυνθήτω, ἀποδίδοσι τὸ Θυμιατήριον, καὶ αὐτὸς κλίνει τὰ γόνατα, προσευχόμενος.

Καὶ μετὰ τὴν συμπλήρωσιν, ποιοῦμεν μετανοίας μεγάλας τρεῖς, κατὰ τὸ σύνηθες, λέγοντες τὸ Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, κ. τ. λ.

Ἐὰν δὲ τύχῃ μνήμη ἑορταζομένου Ἁγίου, μετὰ τὸ Κατευθυνθήτω, ἀναγινώσκεται ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς, κατὰ τὴν τῆς Λειτουργίας τάξιν. Ἐν ταῖς τρισὶ πρώταις ἡμέραις τῆς Μεγάλης Ἑβδομάδος, ἀναγινώσκεται τὸ μόνον Εὐαγγέλιον.

Καὶ ἀνακλείεται ἡ βημοθύρα.

Εἶτα ὁ Διάκονος ἢ ὁ Ἱερεὺς λέγει τὴν Ἐκτενῆ, ψαλλόντων τῶν δύο Χορῶν ἐναλλὰξ μετὰ πᾶσαν δέησιν τὸ Κύριε, ἐλέησον, τρίς.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ μακαριωτάτου Πατριάρχου, (ἢ πανιερωτάτου Μητροπολίτου, ἢ θεοφιλεστάτου Ἀρχιεπισκόπου ἢ Ἐπισκόπου) ἡμῶν τοῦ δεῖνος, τοῦ τιμίου πρεσβυτερίου.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, διακόνων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν κατοικούντων ἐν τῇ πόλει (ἢ χώρᾳ) ταύτῃ (ἢ τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς ταύτης).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων τῆς ἁγίας ἐκκλησίας (ἢ μονῆς) ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ, ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ἐκφώνησις·

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων. Μυστικῶς.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, καὶ λύτρωσαι αὐτοὺς τῆς παλαιᾶς πλάνης καὶ τῆς μεθοδείας τοῦ ἀντικειμένου. Καὶ προσκάλεσαι αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον, φωτίζων αὐτῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ συγκαταριθμῶν αὐτοὺς τῇ λογικῇ σου ποίμνῃ, ἐφ᾿ ἣν τὸ ὄνομά σου τὸ ἅγιον ἐπικέκληται.

Ἐκφώνησις·

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε. Μή

τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

---

Ταῦτα μόνα λέγονται μέχρι τῆς Τρίτης τῆς τετάρτης Ἑβδομάδος. Ἀπὸ δὲ τῆς Τετάρτης τῆς Μεσονηστίμου, μετὰ τὸ εἰπεῖν τὸ Ἵνα καὶ αὐτοί... λέγονται καὶ ταῦτα τὰ διακονικά.

Ὅσοι κατηχούμενοι, προέλθετε. Οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε. Εὔξασθε, οἱ πρὸς τὸ φώτισμα. Τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Οἱ πιστοί, ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ αὐτοὺς καὶ ἐνδυναμώσῃ, τοῦ Κυρίου δεηθῶμεν.

Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως καὶ εὐσεβείας, τοῦ Κυρίου δεηθῶμεν.

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.

Ἀναγεννήσῃ αὐτοὺς δι᾽ ὕδατος καὶ Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Χαρίσηται αὐτοῖς τὴν τελειότητα τῆς πίστεως, τοῦ Κυρίου δεηθῶμεν.

Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ πρὸς τὸ φώτισμα, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων. Μυστικῶς.

Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους, καὶ ἐπιποθοῦντας τὸν τῆς ἁμαρτίας μολυσμὸν ἀποτινάξασθαι· καταύγασον αὐτῶν τὴν διάνοιαν· βεβαίωσον αὐτοὺς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι· τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ σου ἀνάδειξον, τοῦ δόντος ἑαυτὸν ἀντίλυτρον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε. Οἱ πρὸς τὸ φώτισμα, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε. Μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἕως ὧδε τὰ ἀπὸ τῆς Τετάρτης τῆς Μεσονηστίμου.

---

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε ἐλέησον.

Σοφία.

Εὐχὴ πιστῶν α΄. Μυστικῶς.

Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, σὺ πάσας ἡμῶν τὰς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθὸν ταύταις ἡγεμόνα τὸν ἔνδοθεν λογισμὸν ἐπιστήσας. Καὶ ὀφθαλμὸς μὲν ἀπέστω παντὸς πονηροῦ βλέμματος, ἀκοὴ δὲ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δὲ γλῶσσα καθαρευέτω ῥημάτων ἀπρεπῶν· ἅγνισον ἡμῶν τὰ χείλη τὰ αἰνοῦντά σε, Κύριε· τὰς χεῖρας ἡμῶν ποίησον, τῶν μὲν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δὲ μόνα τὰ σοὶ εὐάρεστα, πάντα ἡμῶν τὰ μέλη καὶ τὴν διάνοιαν, τῇ σῇ κατασφαλιζόμενος χάριτι.

Ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Σοφία.

Εὐχὴ πιστῶν β΄. Μυστικῶς.

Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδοχῆς τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ βασιλέως τῆς δόξης. Ἰδοὺ γὰρ τὸ ἄχραντον αὐτοῦ Σῶμα καὶ τὸ ζωοποιὸν Αἷμα, κατὰ τὴν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει Τραπέζῃ, ὑπὸ πλήθους στρατιᾶς οὐρανίου ἀοράτως δορυφορούμενα, ὧν τὴν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρησαι· ἵνα δι᾿ αὐτῶν τὸ τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοὶ φωτὸς καὶ ἡμέρας γενώμεθα.

Ἐκφώνως·

Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ πρῶτος Χορὸς ψάλλειν τὸ ἑξῆς, ἀντὶ τοῦ Χερουβικοῦ Ὕμνου, ἀργῶς καὶ κατανυκτικῶς, εἰς ἦχον πλ. β΄·

Νῦν αἱ Δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ Βασιλεὺς τῆς δόξης.

Τούτου δὲ ψαλλομένου, εἰσέρχεται ὁ Διάκονος εἰς τὸ ἱερὸν Βῆμα, διὰ τοῦ νοτίου κλίτους, καὶ ἀνοίγονται αἱ ἅγιαι Θύραι. Τότε, χαράξας ὁ Διάκονος σταυρὸν μετὰ τοῦ Θυμιατηρίου, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν τρίς, μόνον ἐν μέσῳ, τὴν Πρόθεσιν καὶ τὸν Ἱερέα, καὶ ἀμφότεροι λέγουσι τρίς·

Ὁ Ἱερεύς·

Νῦν αἱ Δυνάμεις τῶν οὐρανῶν σὺν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ Βασιλεὺς τῆς δόξης.

Ὁ Διάκονος·

Ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. Πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Καὶ προσκυνήσαντες τρίς, ἔρχονται εἰς τὴν ἁγίαν Πρόθεσιν, προπορευομένου τοῦ Διακόνου. Αὐτὸς δὲ λέγει πρὸς τὸν Ἱερέα· Ἔπαρον, δέσποτα. Καὶ ὁ Ἱερεύς, ἄρας τὸν Ἀέρα, ἐπιτίθησιν ἐπὶ τῶν ὤμων τοῦ Διακόνου.

Λαβὼν δὲ τὸν ἅγιον Δίσκον μετὰ τῶν θείων Δώρων τῇ δεξιᾷ χειρί, ἐπιτίθησιν αὐτὸν ὁ Ἱερεὺς ἐπὶ τῆς αὐτοῦ κεφαλῆς· τὸ δὲ Ποτήριον σὺν οἴνῳ λαβὼν τῇ ἀριστερᾷ φέρει πρὸ τοῦ στήθους.

Ἐνταῦθα, σιγῆς βαθείας γενομένης, καὶ πάντων προσπεσόντων ἕως ἐδάφους, καὶ λεγόντων καθ᾽ ἑαυτούς· Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς, ἀμήν, ἐξέρχονται διὰ τῆς βορείας Πύλης, ὁ Διάκονος μετὰ λαμπάδος καὶ Θυμιατηρίου, ὀπισθοφανῶς προπορευόμενος καὶ θυμιῶν συνεχῶς, καὶ ὁ Ἱερεύς, βαστάζων τὰ ἅγια Δῶρα, δίχα τινὸς ἐκφωνήσεως, καὶ εἰσάγουσιν αὐτὰ διὰ τῆς μέσης Πύλης εἰς τὸ Ἱερόν. Καὶ εἰσερχόμενος ὁ Ἱερεὺς ἐπιτίθησιν μὲν αὐτὰ ἐπὶ τῆς ἁγίας Τραπέζης κατὰ τὸ ἔθος, αἴρει δὲ τὰ Καλύμματα ἀπὸ τῶν ἁγίων Δώρων καὶ σκεπάζει τὰ Ἅγια διὰ τοῦ Ἀέρος, οὐδὲν λέγων, καὶ θυμιᾷ αὐτά, καὶ προσκυνοῦσι τρὶς ἀμφότεροι, ὅ τε Διάκονος καὶ ὁ Ἱερεύς, ἕως τῆς γῆς.

Ἡμεῖς δὲ ἀναστάντες ποιοῦμεν μετανοίας μεγάλας τρεῖς.

Ὁ δὲ Χορὸς συμπληροῖ τὸ διακοπὲν ᾆσμα·

Ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται. Πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Καὶ ἀνακλείονται αἱ ἅγιαι Θύραι, καὶ τὸ καταπέτασμα.

Ὁ δὲ Διάκονος λαβὼν καιρόν, ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει·

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Οἱ Χοροὶ ἐναλλάξ· Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν προτεθέντων, καὶ προαγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Εὐχὴ μετὰ τὴν ἀπόθεσιν τῶν ἁγίων Δώρων. Μυστικῶς.

Ὁ τῶν ἀῤῥήτων καὶ ἀθεάτων μυστηρίων Θεός, παρ᾽ ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως οἱ ἀπόκρυφοι, ὁ τὴν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν, καὶ θέμενος ἡμᾶς τοὺς ἁμαρτωλοὺς διὰ τὴν πολλήν σου φιλανθρωπίαν, εἰς τὸ προσφέρειν σοι δῶρά τε καὶ θυσίας ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτός, ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ἔπιδε ἐφ᾽ ἡμᾶς τοὺς ἀναξίους δούλους σου, τοὺς τῷ ἁγίῳ τούτῳ θυσιαστηρίῳ, ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ᾽ ᾧ ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν, διὰ τῶν προκειμένων φρικτῶν

ἐπαναπαύεται μυστηρίων· καὶ πάσης ἡμᾶς καὶ τὸν πιστόν σου λαὸν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἁγιασμῷ ἀναφαιρέτῳ, ἵνα ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καὶ ὑπ᾽ αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ Χριστῷ σου, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι· ὁ τρώγων μου τὴν Σάρκα, καὶ πίνων μου τὸ Αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναὸς τοῦ παναγίου καὶ προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πράξει, ἢ λόγῳ, ἢ κατὰ διάνοιαν ἐνεργουμένης, καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σὺν πᾶσι τοῖς Ἁγίοις σου, τοῖς ἀπ᾽ αἰῶνός σοι εὐαρεστήσασιν.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Οἱ Χοροὶ ἐναλλάξ· Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς, ἐκφώνως·

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεὸν Πατέρα, καὶ λέγειν·

Ὁ Λαὸς ἢ ὁ Προεστώς·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται μυστικῶς.

Ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ἔπιδε εὐσπλάγχνῳ ὄμματι ἐπὶ πάντα τὸν λαόν σου, καὶ φύλαξον αὐτόν, καὶ ἀξίωσον πάντας ἡμᾶς ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων μυστηρίων· σοὶ γὰρ τὰς ἑαυτῶν ὑπεκλίναμεν κεφαλάς, ἀπεκδεχόμενοι τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ἐκφώνως·

Χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ

ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καὶ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Μετὰ δὲ τὴν Εὐχήν, ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος προσκυνοῦσι τρίς, λέγοντες μυστικῶς·

Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με.

Ἐν τούτῳ δέ, ζώννυται ὁ Διάκονος τὸ αὐτοῦ Ὠράριον σταυροειδῶς.

Ὁ δὲ Ἱερεὺς οὐκ ἀνακαλύπτει τὰ Ἅγια, ὡς ἐν τῇ τοῦ Χρυσοστόμου, ἀλλ' ἔτι κεκαλυμμένων ὄντων τῶν θείων Δώρων, εἰσάγει τὴν χεῖρα αὐτοῦ δέει πολλῷ, καὶ ἅπτεται τοῦ θείου Ἄρτου μετ' εὐλαβείας καὶ φόβου. Καὶ λέγοντος τοῦ Διακόνου Πρόσχωμεν, ἐκφωνεῖ·

Τὰ προηγιασμένα Ἅγια τοῖς Ἁγίοις.

Ὁ Χορός· Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εἶτα αἴρει ὁ Ἱερεὺς τὸν Ἀέρα, ὁ δὲ Διάκονος εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα, καὶ στὰς ἐκ δεξιῶν τοῦ Ἱερέως, λέγει·

Μέλισον, δέσποτα, τὸν ἅγιον Ἄρτον.

Ὁ δὲ Ἱερεὺς μελίζει αὐτὸν εἰς τέσσαρας μερίδας, μετὰ πάσης προσοχῆς, λέγων·

Μελίζεται καὶ διαμερίζεται ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος, ἀλλὰ τοὺς μετέχοντας ἁγιάζει.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ Δίσκῳ σταυροειδῶς, οὕτως·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Καὶ ἐμβάλλει τὴν ἄνω κειμένην μερίδα εἰς τὸ ἅγιον Ποτήριον, οὐδὲν λέγων· ὁ δὲ Διάκονος ἐγχέει ἐκ τοῦ Ζέοντος τὸ ἀρκοῦν ἔνδον τοῦ ἁγίου Ποτηρίου οὐδὲν λέγων, καὶ ἵσταται μικρὸν ἄποθεν.

Ὁ δὲ Χορὸς ψάλλει τὸ Κοινωνικόν·

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ὁ δὲ Ἱερεύς, κλίνας κάτω τὴν κεφαλήν, προσεύχεται λέγων·

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου, καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καὶ συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Εἶτα·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ

τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Καί, εἰ βούλεται·

Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα ὑπὸ τὴν ῥυπαρὰν στέγην τῆς ψυχῆς μου εἰσέλθῃς· ἀλλ᾽ ὡς κατεδέξω ἐν σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, καὶ τὴν ὁμοίαν μου πόρνην τὴν ἁμαρτωλὸν προσερχομένην σοι καταδεξάμενος, αὐτὸς καταξίωσον καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν τοῦ νεκροῦ καὶ λεπροῦ· καὶ ὡς οὐκ ἐβδελύξω τὸ στόμα τὸ ῥυπαρὸν τῆς πόρνης καταφιλούσης τοὺς ἀχράντους σου πόδας, οὕτω, Δέσποτα Θεέ μου, μὴ βδελύξῃ καὶ ἐμὲ τὸν ἁμαρτωλόν· ἀλλ᾽ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἀξίωσόν με κοινωνὸν γενέσθαι τοῦ παναγίου Σώματος καὶ Αἵματός σου.

Ὁ Θεὸς ἡμῶν, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, ὅσα σοι ἥμαρτον, εἴτε ἐν γνώσει, εἴτε ἐν ἀγνοίᾳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἔργῳ ἔπραξα· πάντα μοι συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος· ταῖς πρεσβείαις τῆς παναχράντου σου καὶ ἀειπαρθένου Μητρός, ἀκατακρίτως ἀξίωσόν με δέξασθαι τὸ τίμιον καὶ ἄχραντον Σῶμά σου, εἰς ἴασιν ψυχῆς καὶ σώματος. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ τελευταῖον τὸ

Μή μοι εἰς κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ᾽ εἰς ἴασιν ψυχῆς καὶ σώματος.

Εἶτα λαβὼν μίαν μερίδα τοῦ ἁγίου Ἄρτου, λέγει·

Μεταδίδοταί μοι τῷ δεῖνι Ἱερεῖ τὸ τίμιον καὶ ἅγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ οὕτω μεταλαμβάνει τοῦ ἁγίου Ἄρτου μετὰ φόβου καὶ πάσης ἀσφαλείας. Εἶτα λέγει·

Διάκονε, πρόσελθε.

Καὶ προσελθὼν ὁ Διάκονος, ποιεῖ μετάνοιαν εὐλαβῶς, αἰτῶν συγχώρησιν, καὶ λέγων·

Μετάδος μοι, δέσποτα, τὸ τίμιον καὶ ἅγιον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Καὶ ὁ Ἱερεύς, κρατῶν τὸν ἅγιον Ἄρτον, δίδωσι τῷ Διακόνῳ ἐν τῇ παλάμῃ, λέγων·

Μεταδίδοταί σοι τῷ δεῖνι Διακόνῳ τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον Σῶμα καὶ Αἷμα τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον.

Ὁ δὲ Διάκονος ἀπέρχεται καὶ μεταλαμβάνει. Εἶτα λαβὼν τὴν Μοῦσαν, ἀποσπογγίζει τὴν χεῖρα, λέγων· Δόξα σοι, ὁ Θεός, τρίς. Καὶ ἀσπασάμενος τὴν σπογγήν, ἐπιτίθησιν αὐτὴν ἔν τινι μέρει.

Εἶτα λαβὼν ὁ Ἱερεὺς τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Καλύμματος ἀμφοτέραις ταῖς χερσίν, μεταλαμβάνει ἐξ αὐτοῦ, οὐδὲν λέγων. Ἔπειτα ἀποσπογγίζει τὸ στόμα καὶ τὸ ἅγιον Ποτήριον μετὰ τοῦ Καλύμματος, καὶ προσκαλεῖ τὸν Διάκονον·

**Διάκονε, ἔτι πρόσελθε.**

Ὁ Διάκονος προσέρχεται, οὐδὲν λέγων, καὶ ὁ Ἱερεὺς μεταδίδοται αὐτῷ ἐκ τοῦ ἁγίου Ποτηρίου, οὐδὲν λέγων.

Καὶ οὕτως μεταλαμβάνουσι τῶν ἁγίων Μυστηρίων μετὰ φόβου καὶ πάσης ἀσφαλείας.

Ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ ἅγιον Ποτήριον ἐπὶ τῆς ἁγίας Τραπέζης. Καὶ λαβὼν τὸ ἀντίδωρον, νίπτει τὰς χεῖρας καὶ τὰ χείλη. Ὁ δὲ Διάκονος λαβὼν τὸν ἅγιον Δίσκον, ἐπιτίθησιν αὐτὸν ἐπὶ τοῦ ἁγίου Ποτηρίου, καὶ συστέλλει τὰ Ἅγια. Καὶ προσκυνήσας τρίς, ἀνοίγει τὰς βασιλικὰς Πύλας, καὶ κρατῶν τὸ ἅγιον Ποτήριον, ἐκφωνεῖ·

**Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε.**

Ὁ Χορός· Ἀμήν, ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Ἡ δὲ μετάληψις τῶν πιστῶν γίνεται ὡς ἐν τῇ λειτουργίᾳ τοῦ Χρυσοστόμου.

Εἶτα ὁ Ἱερεὺς ἐκφωνεῖ·

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.**

Ὁ δὲ Χορὸς ψάλλει· Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἄρτον οὐράνιον καὶ ποτήριον ζωῆς γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Καὶ ὁ Ἱερεὺς θυμιᾷ τρίς, λέγων καθ᾿ ἑαυτόν·

**Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.**

Εἶτα ἐπιδίδωσι τὸ Θυμιατήριον τῷ Διακόνῳ· καὶ λαβὼν τὸν ἅγιον Δίσκον, ἐπιτίθησιν αὐτὸν ἐπὶ τῆς τοῦ Διακόνου κεφα-

λῆς. Ὁ δὲ Διάκονος, λαβὼν αὐτὸν μετ' εὐλαβείας, καὶ βλέπων πρὸς τὰς Πύλας, οὐδὲν λέγων, ἀπέρχεται εἰς τὴν ἁγίαν Πρόθεσιν καὶ ἀποτίθησιν αὐτόν.

Ὁ δὲ Ἱερεὺς προσκυνήσας λαμβάνει τὸ ἅγιον Ποτήριον κεκαλυμμένον, καὶ ἐπιστρέφεται πρὸς τὰς Πύλας, βλέπων πρὸς τὸν λαόν, καὶ λέγει μυστικῶς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

καὶ ἐκφώνως·

πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ἀποτίθησι τὸ Ποτήριον εἰς τὴν Πρόθεσιν.

Ὁ Χορός· Ἀμήν. Καί, εἰ ἔθος·

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων, ἀθανάτων καὶ ἀχράντων σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ ἁγιασμῷ, ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν μελετῶντας τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Ὁ Διάκονος·

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εὐχὴ τοῦ Ἱερέως μετὰ τὴν μετάληψιν. Μυστικῶς·

Εὐχαριστοῦμέν σοι, τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπὶ πᾶσιν οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου. Καὶ δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· φύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου· καὶ δὸς ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμὸν ψυχῆς καὶ σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

Ἐκφώνως·

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Χορός· Ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη παρὰ τοῦ Ἱερέως ἔξω τοῦ Βήματος·

Δέσποτα παντοκράτορ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διὰ τὴν ἄφατόν σου πρόνοιαν, καὶ πολλὴν ἀγαθότητα ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, πρὸς καθα-

ρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἐγκράτειαν παθῶν, πρὸς ἐλπίδα ἀναστάσεως· ὁ διὰ τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας τὰ θεοχάρακτα γράμματα τῷ θεράποντί σου Μωσεῖ, παράσχου καὶ ἡμῖν, ἀγαθέ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, τὸν δρόμον τῆς νηστείας ἐκτελέσαι, τὴν πίστιν ἀδιαίρετον τηρῆσαι, τὰς κεφαλὰς τῶν ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι, καὶ ἀκατακρίτως φθάσαι προσκυνῆσαι καὶ τὴν ἁγίαν Ἀνάστασιν.

Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. Τρίς.

Ταύτης δὲ τελεσθείσης, ὁ μὲν Ἱερεὺς εἰσέρχεται διὰ τῶν ἁγίων Θυρῶν· καὶ στραφεὶς πρὸς τὴν Πρόθεσιν, λέγει τὴν παροῦσαν Εὐχήν·

Εὐχὴ λεγομένη μυστικῶς πρὸ τοῦ συστεῖλαι τὸν Διάκονον τὰ Ἅγια·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας, καὶ κοινωνοὺς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου μυστηρίων, σύναφον τῇ λογικῇ σου ποίμνῃ, καὶ κληρονόμους ἀνάδειξον τῆς βασιλείας σου, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταὐτοχρόνως λέγει ὁ Ἀναγνώστης τοὺς ψαλμοὺς ΛΓ΄. 33. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ... καὶ τὸν ΡΜΔ΄. 144. Ὑψώσω σέ, ὁ Θεός μου... Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον. Τρίς.

Ὁ δὲ Διάκονος εἰσελθὼν καὶ αὐτὸς διὰ τοῦ βορείου μέρους, καὶ πρὸ τῆς θύρας στάς, πληρουμένων τῶν ψαλμῶν, ἐκφωνεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς, εὐλογῶν τὸν λαόν, λέγει·

Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐφ᾿ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Ἱερεύς·

Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ λαός, ἢ ὁ Ἀναγνώστης·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, τρίς. Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς τὸν λαόν, ποιεῖ Ἀπόλυσιν·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, καὶ τὰ λοιπὰ κατὰ τὴν ἡμέραν· καὶ μνημονεύει τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Οὕτως γίνεται ἡ Ἀπόλυσις ἕως τῆς Μεγάλης Ἑβδομάδος. Ἐν δὲ τῇ Μεγάλῃ Ἑβδομάδι λέγεται ἡ Ἀπόλυσις τῶν ἡμερῶν ἐκείνων, τοῦτ᾿ ἔστι, τῇ Δευτέρᾳ, τῇ Τρίτῃ καὶ τῇ Τετάρτῃ·

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον πάθος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς

Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρός, καὶ τὰ λοιπὰ κατὰ τὴν ἡμέραν· καὶ μνημονεύει τοῦ Ἁγίου τῆς ἐκκλησίας καὶ τῆς ἡμέρας, τῶν ἁγίων καὶ θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μετὰ τὴν Ἀπόλυσιν, ἐξέρχεται ὁ Ἱερεύς, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, δίδωσι τῷ λαῷ τὸ ἀντίδωρον. Εἶτα ἀποδύεται τὴν ἱερατικὴν στολήν, οὐδὲν λέγων, καὶ ἀναγινωσκόμενος τὰς εὐχαριστηρίους Εὐχάς, ἀπέρχεται.



Τέλος τῆς θείας Λειτουργίας τῶν Προηγιασμένων.



# ΠΑΡΑΡΤΗΜΑ
# ΤΟΥ ΙΕΡΑΤΙΚΟΥ

# ΙΕΡΑΤΙΚΟΝ ΣΥΛΛΕΙΤΟΥΡΓΟΝ

῞Οταν τύχωσι πλείους τοῦ ἑνὸς ῾Ιερεῖς συλλειτουργοῦντες, καὶ γένηται Εἴσοδος ἐν τῷ ῾Εσπερινῷ, ἀπαιτοῦνται τρεῖς τοὐλάχιστον ῾Ιερεῖς. Οὗτοι στάντες εἰς ἡμικύκλιον ἐν τῷ μέσῳ τοῦ Ναοῦ, ψάλλουσι ἔξωθεν τὸ Φῶς ἱλαρὸν μέχρι τοῦ καὶ ῞Αγιον Πνεῦμα Θεόν. Εἶτα εἰσέρχονται, ψάλλοντες, εἰς τὸ ῾Ιερόν, καὶ τελευτῶσι τὴν ὑμνῳδίαν.

Μετὰ τοῦτο ψάλλεται τὸ Προκείμενον τῆς ἡμέρας ἅπαξ ἐκ τοῦ βήματος καὶ δὶς ἔξωθεν. Εἰς δὲ τὴν Λιτήν, ὁ πρῶτος τῇ τάξει λέγει τὸ ᾿Επάκουσον ἡμῶν ὁ Θεός, τὸ Εἰρήνη πᾶσι, τὸ Δέσποτα πολυέλεε καὶ τὸ Κύριε ᾿Ιησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν.

῞Οταν τὸ δὲ πρωῒ συλλειτουργῶσι πολλοὶ ῾Ιερεῖς, τούτων ὁ μὲν τὴν ἐφημερίαν τῆς ἑβδομάδος λαχών, λαμβάνει καιρὸν σὺν τῷ Διακόνῳ μετὰ τὴν ἕκτην ᾠδὴν τοῦ Κανόνος, καὶ εἰσελθὼν εἰς τὸ βῆμα, καὶ τὰ ἱερὰ αὐτοῦ ἄμφια, ὡς προδεδήλωται, ἐνδυσάμενος, καὶ τὰς χεῖρας πλύνας, ἔρχεται εἰς τὴν Πρόθεσιν καὶ ποιεῖ τὴν Προσκομιδήν, καὶ ἐκφωνεῖ μέχρι τῶν Αἴνων, πάντα τὰ τῷ ῾Ιερεῖ ἀνήκοντα.

᾿Αρχομένων δὲ ψάλλεσθαι τῶν Αἴνων, οἱ λοιποὶ συλλειτουργήσοντες ῾Ιερεῖς, ἐλθόντες ποιοῦσι μεγάλην μετάνοιαν πρὸ τοῦ ᾿Αρχιερατικοῦ Θρόνου, καὶ ἀπελθόντες ἵστανται πρὸ τῆς ὡραίας Πύλης, ἧς κλείεται τὸ καταπέτασμα. Εὐλογήσαντος δὲ τοῦ πρώτου τῇ τά-

ξει Ἱερέως, ἕτερος λέγει τὸ Τρισάγιον. Ὁ δὲ πρῶτος τὴν Ἐκφώνησιν· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἐπισυνάπτει τὸ Τροπάριον· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς. Ἕτερος δέ· Δόξα· Κύριε, ἐλέησον ἡμᾶς. Καὶ ἕτερος, ἢ αὖθις ὁ πρῶτος· Καὶ νῦν· Τῆς εὐσπλαγχνίας τὴν πύλην.

Προσκυνήσαντες δὲ τὰς ἁγίας Εἰκόνας, καὶ ἐπανελθόντες πρὸ τῶν Βασιλικῶν Πυλῶν, ὑποκλίνουσι πάντες τὸν αὐχένα. Ὁ δὲ πρῶτος ἀναγινώσκει μυστικῶς, ὅσον ἀκούειν τοὺς συλλειτουργήσοντας, τὴν Εὐχήν· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου. Στραφέντες δὲ πάντες πρὸς τὸν λαόν, καὶ δι᾽ ὑποκλίσεως συγχώρησιν παρ᾽ αὐτοῦ αἰτησάμενοι, εἰσέρχονται εἰς τὸ Ἱερόν, καὶ τὸ ἅγιον Εὐαγγέλιον καὶ τὴν ἁγίαν Τράπεζαν ἀσπασάμενοι, ἐνδύονται τὰς ἱερατικὰς αὐτῶν στολάς. Καὶ νιφάμενοι ἵστανται περὶ τὴν ἁγίαν Τράπεζαν, ὁ μὲν πρῶτος τῇ τάξει καὶ ἐν δεξιᾷ αὐτοῦ ὁ Διάκονος ἐν τῷ μέσῳ, οἱ δὲ λοιποὶ κατὰ τάξιν ἔνθεν καὶ ἔνθεν τῆς ἁγίας Τραπέζης.

Ψαλλομένης δὲ τῆς Δοξολογίας, ὁ Διάκονος λέγει τὴν Ἐκτενῆ· Ἐλέησον ἡμᾶς ὁ Θεός· καὶ ὁ πρῶτος Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος. Αὖθις ὁ Διάκονος· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν. Ὁ δεύτερος Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι Θεὸς ἐλέους, καὶ οἰκτιρμῶν. Ὁ πρῶτος Ἱερεύς· Εἰρήνη πᾶσι. Τοῦ δὲ Διακόνου εἰπόντος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν, ὁ Ἱερεὺς κλίνας τὴν κεφαλήν, λέγει τὴν Εὐχήν· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν· μεθ᾽ ἥν, τοῦ Διακόνου εἰπόντος· Σοφία, ὁ Ἱερεὺς ποιεῖ τὴν συνήθη μεγάλην Ἀπόλυσιν.

Εἶτα ὁ μὲν Διάκονος ὑποκλίνας τὴν κεφαλὴν τῷ πρώτῳ Ἱερεῖ, λέγει· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα, εὐλόγησον. Ὁ δὲ Ἱερεὺς λέγει· Εὐλογητὸς ὁ

Θεὸς ἡμῶν, πάντοτε, νῦν, κ. τ. λ. Ὁ Διάκονος· Ἀμήν. Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Ὁ Ἱερεύς· Κατευθύναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν. Καὶ πάλιν ὁ Διάκονος· Μνήσθητί μου, δέσποτα ἅγιε. Ὁ Ἱερεύς, σφραγίζων τὴν κεφαλὴν αὐτοῦ, λέγει· Μνησθείη σου Κύριος ὁ Θεός... Ὁ δὲ Διάκονος, τὴν δεξιὰν αὐτοῦ ἀσπασάμενος, ἐξέρχεται καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ, προσευχόμενος καθ' ἑαυτόν, μέχρι τῆς ἐνάρξεως τῆς θείας Λειτουργίας.

Μετὰ ταῦτα, τοῦ Διακόνου ἐκφωνήσαντος· Εὐλόγησον, δέσποτα, ὁ πρῶτος τῶν Ἱερέων ἐκφωνεῖ· Εὐλογημένη ἡ Βασιλεία... Καὶ μετὰ τὰ Εἰρηνικά, λέγει τὴν Ἐκφώνησιν· Ὅτι πρέπει σοι πᾶσα δόξα... Ψαλλομένων δὲ τῶν Ἀντιφώνων, ἕκαστος τῶν Ἱερέων ἐκ τῆς οἰκείας λειτουργικῆς φυλλάδος ἀναγινώσκει μυστικῶς τὰς εὐχὰς τῶν Ἀντιφώνων. Καὶ λέγει ὁ δεύτερος Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι σὸν τὸ κράτος... Ὁ δὲ τρίτος τὴν Ἐκφώνησιν· Ὅτι ἀγαθός...

Εἶτα προπορευομένων λαμπαδούχων, ἢ καὶ ἑξαπτερύγων, καὶ τοῦ Διακόνου μετὰ τοῦ Εὐαγγελίου, ἐξέρχονται καὶ οἱ Ἱερεῖς διὰ τοῦ βορείου κλίτους, καὶ ἐλθόντες ἵστανται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, κλίνοντες τὰς κεφαλάς. Καὶ τοῦ Διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ πρῶτος τῶν Ἱερέων λέγει μυστικῶς τὴν Εὐχὴν τῆς Εἰσόδου. Καὶ αὖθις τοῦ Διακόνου εἰπόντος· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον, ὁ Ἱερεὺς εὐλογῶν, λέγει· Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου... Τοῦ δὲ Διακόνου ἐκφωνήσαντος· Σοφία· ὀρθοί, ψάλλεται τὸ Δεῦτε προσκυνήσωμεν... ἢ τὸ Εἰσοδικὸν τῆς ἑορτῆς, συμβοηθούντων τῷ πρώτῳ καὶ τῶν λοιπῶν Ἱερέων. Ἐν δὲ τῷ ψάλλειν· Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ... ἔρχονται οἱ Ἱερεῖς ἀπέναντι τοῦ Θρόνου, καὶ ὑποκλι-

νάμενοι, εἰσέρχονται εἰς τὸ Ἱερὸν ἅμα ψάλλοντες. Τὸ δὲ Σῶσον ἡμᾶς... ἐπαναλαμβάνεται ὁ Χορός.

Μετὰ τοῦτο, ὁ πρῶτος Ἱερεὺς ψάλλει τὸ Κοντάκιον τῆς ἡμέρας, ἢ τῆς ἑορτῆς, οὗ τὰς τελευταίας λέξεις συμπληροῖ ὁ β΄ Χορός.

Ὁ πρῶτος Ἱερεὺς λέγει τὴν Ἐκφώνησιν· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Ὁ Διάκονος· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Οἱ Χοροὶ ἐναλλὰξ ψάλλουσι τὸ Ἅγιος ὁ Θεός... Τὸ τρίτον ψάλλουσιν οἱ Ἱερεῖς ἐκ τοῦ βήματος, τὸ δὲ λοιπὸν οἱ Χοροί. Εἶτα ὁ μὲν Ἀναγνώστης ἀναγινώσκει τὴν περικοπὴν τοῦ Ἀποστόλου, ὁ δὲ Διάκονος τὴν τοῦ Εὐαγγελίου, τοῦ πρώτου τῶν Ἱερέων εὐλογοῦντος τὸν λαὸν καὶ λέγοντος· Εἰρήνη πᾶσι. Μετὰ δὲ τὸ πέρας τοῦ Εὐαγγελίου, λαβὼν παρὰ τοῦ Διακόνου τὸ ἱερὸν Εὐαγγέλιον πρὸ τῶν βασιλικῶν πυλῶν, καὶ ἀσπασάμενος, ἀποτίθησιν αὐτὸ ἐπὶ τῆς Ἁγίας Τραπέζης.

Καὶ ὁ μὲν Διάκονος λέγει τὴν μεγάλην Ἐκτενῆ· Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς... Ὁ δὲ πρῶτος Ἱερεὺς τὴν Ἐκφώνησιν· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Τὰς δὲ λοιπὰς Ἐκφωνήσεις λέγουσι κατὰ τάξιν οἱ λοιποὶ συλλειτουργοῦντες Ἱερεῖς. Τὴν δὲ Ἐκφώνησιν· Ὅπως ὑπὸ τοῦ κράτους σου.. λέγει ὁ πρῶτος τῶν Ἱερέων, καὶ ἀναγινώσκουσι πάντες τὴν Εὐχὴν Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων... Μεθ' ἥν, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον, καὶ μυστικῶς τὸν Ν΄ ψαλμὸν ἀπαγγέλλων θυμιᾷ κύκλῳ τήν τε ἁγίαν Τράπεζαν καὶ τὴν Πρόθεσιν, καὶ προελθὼν τῶν βασιλικῶν Πυλῶν, τὰς Δεσποτικὰς Εἰκόνας, τὸν Θρόνον, καὶ τὸν λαόν, καὶ εἰσελθὼν θυμιᾷ καὶ τοὺς ἐν τῷ Βήματι. Παραδοὺς δὲ τὸ Θυμιατήριον καὶ προσκυνήσας μετὰ τοῦ πρώτου τῶν Ἱερέων, ἀσπάζονται τὸ ἱερὸν ἀντιμίνσιον καὶ τὴν ἁγίαν Τράπεζαν, καὶ στραφέντες πρὸς τὸν λαόν, καὶ

δι᾽ ὑποκλίσεως συγχώρησιν παρὰ πάντων αἰτησάμενοι, ἀπέρχονται εἰς τὴν ἁγίαν Πρόθεσιν. Αὐτὸ τοῦτο πράττουσι σύνδυο ἢ σύντρεις καὶ οἱ λοιποὶ συλλειτουργοῦντες Ἱερεῖς.

Μνημονεύσας μὲν ἕκαστος ζώντων καὶ τεθνεώτων, ὧν θέλει, λαβὼν δὲ τὸν Ἀέρα ὁ πρῶτος τῶν Ἱερέων ἐπιτίθησιν ἐπὶ τῶν ὤμων τοῦ Διακόνου, καὶ ἐπιβάλλει τῇ κεφαλῇ αὐτοῦ τὸν ἅγιον Δίσκον κεκαλυμμένον μετὰ τοῦ Καλύμματος. Αὐτὸς δὲ λαμβάνει ἀνὰ χεῖρας τὸ ἱερὸν Ποτήριον, ὡσαύτως κεκαλυμμένον· Τῶν δὲ ἄλλων Ἱερέων ὁ μὲν λαμβάνει τὴν Λόγχην, ὁ δὲ τὴν Λαβίδα, ὁ δὲ ἄλλο τι τῶν ἱερῶν Σκευῶν, καὶ προπορευομένων τῶν λαμπαδούχων, τῶν ἐξαπτερύγων, καὶ Ἀναγνωστῶν θυμιώντων, ποιοῦσι τὴν μεγάλην Εἴσοδον, ἐκ τοῦ βορείου κλίτους ἐξερχόμενοι, καὶ περινοστοῦντες ἔρχονται μέχρι τῶν βασιλικῶν Πυλῶν, λέγοντες ὅ τε Διάκονος καὶ ὁ πρῶτος Ἱερεὺς ἀμοιβαίως· Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεός... καὶ ὁ Ἱερεὺς μυστικῶς· τῆς Ἱερωσύνης ἡμῶν μνησθείη Κύριος ὁ Θεός, κ. τ. λ.. Καὶ εἰσελθόντες εἰς τὸ Ἱερόν, ἀποτιθέασι τὰ τίμια Δῶρα ἐπὶ τῆς ἁγίας Τραπέζης. Οἱ δὲ λοιποὶ Ἱερεῖς ἐν σιωπῇ εἰσοδεύσαντες, καὶ ἐν τῇ Προθέσει καταθέντες τὴν Λαβίδα, κ. τ. λ. ... ἵστανται περὶ τὴν ἁγίαν Τράπεζαν.

Περατωθέντος δὲ τοῦ Χερουβικοῦ Ὕμνου, ὁ μὲν Διάκονος ἐξελθὼν καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει τὸ Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Ὁ δὲ πρῶτος τῶν Ἱερέων τὴν Ἐκφώνησιν· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ... Καὶ εὐλογῶν τῇ χειρὶ τὸν λαόν, λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ Διακόνου εἰπόντος· Ἀγαπήσωμεν ἀλλήλους... ὁ πρῶτος Ἱερεὺς προσκυνήσας ἀσπάζεται ἀμφότερα τὰ ἅγια Δῶρα καὶ τὴν ἁγίαν Τράπεζαν, καὶ μετ᾽ αὐτὸν οἱ λοιποὶ συλλειτουργοὶ κατὰ σειρὰν ἀσπάζονται τὰ ἅγια Δῶρα, καὶ ἀλλή-

λους ἐπὶ τῶν ὤμων. Ὁ πρῶτος Ἱερεὺς λέγει· Ὁ Θεὸς ἐν μέσῳ ἡμῶν, καὶ ἀποκρίνεται ὁ τὸν ἀσπασμὸν δεχόμενος· Καὶ ἔστι καὶ ἔσται.

Τοῦ δὲ Διακόνου ἐκφωνήσαντος· Τὰς θύρας, τὰς θύρας... ὁ λαὸς ἤ, εἰ ἔθος, ὁ Προεστὼς ἀπαγγέλλει μεγαλοφώνως τὸ Σύμβολον τῆς Πίστεως. Οἱ δὲ συλλειτουργοῦντες Ἱερεῖς λαβόντες τὸν Ἀέρα ἀπὸ τῶν ἁγίων Δώρων κρατοῦσιν αὐτὸν ἀναπεπταμένον καὶ ἀνασείουσι ἐπάνω αὐτῶν. Εἶτα πτύξαντες ἀποτιθέασιν αὐτὸν ἐπὶ τῆς ἁγίας Τραπέζης.

Εἰσελθὼν ὁ Διάκονος μετὰ τὸ εἰπεῖν· Στῶμεν καλῶς... ῥιπίζει διὰ τοῦ Ῥιπιδίου ἢ διὰ τοῦ Καλύμματος τὰ ἅγια Δῶρα, καὶ ἀποτίθησι αὐτό. Ὁ πρῶτος τῶν Ἱερέων ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... καὶ στραφείς, εὐλογεῖ τὸν λαόν, λέγων· εἴη μετὰ πάντων ὑμῶν. Καὶ ἀνυψῶν ἀμφοτέρας τὰς χεῖρας καὶ πρὸς τὸν λαὸν ἀτενίζων, λέγει· Ἄνω σχῶμεν τὰς καρδίας. Στραφεὶς δὲ πρὸς τὴν ἁγίαν Τράπεζαν, λέγει· Εὐχαριστήσωμεν τῷ Κυρίῳ Καὶ ἀναγινώσκουσι πάντες οἱ Ἱερεῖς τὴν εὐχαριστήριον Εὐχήν· Ἄξιον καὶ δίκαιον... Τὴν δὲ Ἐκφώνησιν· Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα... λέγει ὁ πρῶτος Ἱερεύς.

Χρὴ δὲ γινώσκειν, ὅτι ταῦτα τοῦ Κυρίου ῥήματα Λάβετε, φάγετε... καὶ Πίετε ἐξ αὐτοῦ πάντες... πρέπει λέγεσθαι ὑπὸ πάντων τῶν συλλειτουργούντων ὁμοφώνως καὶ ἡσύχως ἐπὶ τοῦ ἄρτου καὶ τοῦ οἴνου ἅμα σὺν τῷ πρώτῳ Ἱερεῖ, καὶ μὴ προφθάνειν αὐτὸν ἢ ἀφίστασθαι ἀπ᾽ αὐτοῦ, ἀλλ᾽ ὡς ἐν ἑνὶ στόματι συγχρόνως ἐκφωνεῖν πάντας. Ὁ πρῶτος Ἱερεὺς μόνος εὐλογεῖ τὸν ἅγιον Δίσκον καὶ τὸ ἅγιον Ποτήριον, καὶ ὡσαύτως ὅτε λέγεται· Καὶ ποίησον τὸν μὲν Ἄρτον τοῦτον... Καὶ Τὸ δὲ ἐν τῷ Ποτηρίῳ τούτῳ...

Εἶτα ὁ πρῶτος Ἱερεὺς εὐλογήσας τὸν ἅγιον Ἄρτον καὶ τὸ ἅγιον Ποτήριον καὶ ἀμφότερα τὰ Ἅγια, καὶ τὸ ὑπόλοιπον τῆς Εὐχῆς μυστικῶς ἀναγνούς, θυμιῶν ἐκφωνεῖ· Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου... Μετὰ δὲ τὴν ἀνάγνωσιν τῆς Εὐχῆς ἐκφωνεῖ τὸ Ἐν πρώτοις μνήσθητι, Κύριε... Εἶτα· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι...

Ὁ Διάκονος· Πάντων τῶν ἁγίων μνημονεύσαντες... Καὶ ὁ δεύτερος Ἱερεὺς τὴν Ἐκφώνησιν· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ἀναγνωσθείσης δὲ τῆς Κυριακῆς Προσευχῆς, ὁ τρίτος τῶν Ἱερέων λέγει τὴν Ἐκφώνησιν· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Εἶτα ὁ πρῶτος εὐλογῶν τῇ χειρὶ τὸν λαόν, λέγει· Εἰρήνη πᾶσι. Καὶ ὁ τέταρτος Ἱερεύς, ἢ ὁ δεύτερος· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Ὁ Διάκονος· Πρόσχωμεν. Ὁ δὲ πρῶτος Ἱερεύς· Τὰ Ἅγια τοῖς Ἁγίοις.

Ψαλλομένου δὲ τοῦ Κοινωνικοῦ, ἀναγινώσκουσι οἱ Ἱερεῖς τὰς πρὸ τῆς Μεταλήψεως τεταγμένας Εὐχάς, καὶ δι' ὑποκλίσεως συγχώρησιν παρ' ἀλλήλων λαβόντες, κοινωνοῦσιν ἕκαστος ἀμφοτέρων τῶν Εἰδῶν κατὰ σειράν, ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τελευταίου, ὅστις μεταδίδωσι καὶ τῷ Διακόνῳ. Εἶτα τὰς χεῖρας νιψάμενοι, γεύονται τοῦ Κατακλαστοῦ, καὶ ἐκπλύνουσιν δι' ὕδατος τὸ στόμα αὐτῶν.

Πληρωθέντος δὲ τοῦ Κοινωνικοῦ, καὶ τοῦ Διακόνου πρὸ τῆς βασιλικῆς Πύλης ἐκφωνήσαντος· Μετὰ φόβου Θεοῦ... ὁ πρῶτος Ἱερεὺς εὐλογῶν τὸν λαόν, λέγει· Σῶσον, ὁ Θεός, τὸν λαόν σου... Ὁ δὲ δεύτερος Ἱερεύς, μετὰ τὴν Αἴτησιν τοῦ Διακόνου, λέγει τὴν Ἐκφώνησιν· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν... καὶ ἐπισυνάπτει· Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ τρίτος Ἱερεὺς προελθὼν τῆς ὡραίας πύλης ἀναγινώσκει τὴν ὀπισθάμβωνον Εὐχήν· Ὁ εὐ-

λογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε... Καὶ εἰσελθὼν λέγει ἐν τῇ Προθέσει τὴν Εὐχήν· Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν... Εἶτα τοῦ Διακόνου ἐκφωνήσαντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ πρῶτος τῶν Ἱερέων ἀπὸ τῆς ἁγίας Πύλης εὐλογῶν τὸν λαόν, λέγει· Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθῃ ἐφ᾽ ὑμᾶς... Καὶ ἑξῆς ποιεῖ τὴν μεγάλην Ἀπόλυσιν. Διανείμας δὲ τῷ λαῷ τὸ Ἀντίδωρον, εἰσελθὼν ἀπεκδύεται αὐτός τε καὶ οἱ λοιποὶ Ἱερεῖς τὴν ἱερατικὴν αὐτῶν στολήν, καὶ οὕτως ἀπέρχονται εὐχαριστοῦντες τῷ Κυρίῳ. Τὰ δὲ Ἅγια συστέλλει ἐν τῇ Προθέσει ὁ Διάκονος.

Ἐὰν ὑπάρχῃ ἐπιμνημόσυνος τελετή, μετὰ τὴν ὀπισθάμβωνον Εὐχήν, οἱ Ἱερεῖς ψάλλοντες τὸ Μετὰ πνευμάτων δικαίων τετελειωμένων, κ.τ.λ., ἐξέρχονται τοῦ Βήματος καὶ ἱστάμενοι ἐν τῇ Σολέᾳ μνημονεύουσι κατὰ σειρὰν τῶν προαπελθόντων, καὶ εἰσελθόντες ποιοῦσι ὅσα ἀνωτέρω προγέγραπται.



# ΕΙΣΟΔΙΚΑ

## φαλλόμενα ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς

# ΚΑΙ ΚΟΝΤΑΚΙΑ

## τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, καὶ τῶν προεορτίων αὐτῶν, καὶ ἄλλων τινῶν ἐπισήμων ἡμερῶν.

Τῇ α΄ Σεπτεμβρίου. Ἀρχὴ τῆς Ἰνδίκτου.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ τῶν αἰώνων ποιητὴς καὶ Δεσπότης,* Θεὲ τῶν ὅλων, Ὑπερούσιε ὄντως,* τὴν ἐνιαύσιον εὐλόγησον περίοδον,* σώζων τῷ ἐλέει σου* τῷ ἀπείρῳ, οἰκτίρμον,* πάντας τοὺς λατρεύοντάς* σοι, τῷ μόνῳ Δεσπότῃ*, καὶ ἐκβοῶντας φόβῳ· Λυτρωτά,* εὔφορον πᾶσι τὸ ἔτος χορήγησον.

Τῇ ζ΄ Σεπτεμβρίου. Προεόρτια τῆς Γεννήσεως τῆς Θεοτόκου.

Κοντάκιον Προεόρτιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον* καὶ Θεοτόκος Μαρία,* ἡ παστὰς ἡ ἄλυτος* τοῦ οὐρανίου Νυμφίου* τίκτεται* ἀπὸ τῆς στείρας θεοβουλήτως,* ὄχημα* τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι·* εἰς τοῦτο γὰρ καὶ προωρίσθη* ἡ θεία πύλη* καὶ Μήτηρ τῆς ὄντως ζωῆς.

Ἢ τὸ παρόν· Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῇ σεπτῇ Γεννήσει σου * ἡ οἰκουμένη, * τῷ ἀΰλῳ Πνεύματι * πεποικιλμένη νοερῶς, * ἐν εὐφροσύνῃ κραυγάζει σοι· * Χαῖρε, Παρθένε, * Χριστιανῶν τὸ καύχημα.

Τῇ η' Σεπτεμβρίου. Γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου, καὶ μέχρι τῆς Ἀποδόσεως ταύτης τῆς ἑορτῆς (ιβ' Σεπτεμβρίου).

Κοντάκιον. Ἦχος δ'.

Ἰωακεὶμ καὶ Ἄννα * ὀνειδισμοῦ ἀτεκνίας, * καὶ Ἀδὰμ καὶ Εὔα * ἐκ τῆς φθορᾶς τοῦ θανάτου * ἠλευθερώθησαν, Ἄχραντε, * ἐν τῇ ἁγίᾳ Γεννήσει σου. * Αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, * ἐνοχῆς τῶν πταισμάτων * λυτρωθεὶς ἐν τῷ κράζειν σοι· * Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον * καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τῇ ιγ' Σεπτεμβρίου. Τὰ Ἐγκαίνια τοῦ Ναοῦ τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Οὐρανὸς πολύφωτος * ἡ Ἐκκλησία * ἀνεδείχθη, ἅπαντας * φωταγωγοῦσα τοὺς πιστούς· * ἐν ᾧ ἑστῶτες κραυγάζομεν· * Τοῦτον τὸν οἶκον * στερέωσον, Κύριε.

Τῇ ιδ' Σεπτεμβρίου. Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, καὶ μέχρι τῆς Ἀποδόσεως (κα' Σεπτεμβρίου).

Τὸ Εἰσοδικόν.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος δ'. Αὐτόμελον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, * τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ * τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· * εὔφρανον ἐν τῇ δυνάμει σου *

τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων·* τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Ἀπὸ τῆς Ἀποδόσεως τοῦ Σταυροῦ μέχρι τῆς η' Νοεμβρίου.

Κοντάκιον. Ἦχος β'.

Προστασία* τῶν Χριστιανῶν ἀκαταίσχυντε,* μεσιτεία* πρὸς τὸν Ποιητὴν ἀμετάθετε,* μὴ παρίδῃς* ἁμαρτωλῶν δεήσεων φωνάς,* ἀλλὰ πρόφθασον, ὡς ἀγαθή,* εἰς τὴν βοήθειαν ἡμῶν,* τῶν πιστῶς κραυγαζόντων σοι·* Τάχυνον εἰς πρεσβείαν,* καὶ σπεῦσον εἰς σωτηρίαν,* ἡ προστατεύουσα ἀεί,* Θεοτόκε, τῶν τιμώντων σε.

Ἀπὸ τῆς η' Νοεμβρίου μέχρι τῆς Ἀποδόσεως τῶν Εἰσοδίων ( κε' Νοεμβρίου ), ψάλλεται τὸ Κοντάκιον τῆς ἑορτῆς.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὁ καθαρώτατος Ναὸς* τοῦ Σωτῆρος,* ἡ πολυτίμητος παστὰς* καὶ Παρθένος,* τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ* σήμερον εἰσάγεται* ἐν τῷ οἴκῳ Κυρίου,* τὴν χάριν συνεισάγουσα* τὴν ἐν Πνεύματι θείῳ·* ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ·* Αὕτη ὑπάρχει* σκηνὴ ἐπουράνιος.

Τῇ κ' Νοεμβρίου. Προεόρτια τῶν Εἰσοδίων. Κἂν τύχῃ ἐν Κυριακῇ, ψάλλεται τὸ Προεόρτιον Κοντάκιον.

Κοντάκιον Προεόρτιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον* ἡ οἰκουμένη* ἐπληρώθη ἅπασα* ἐν τῇ εὐσήμῳ ἑορτῇ* τῆς Θεοτόκου, κραυγάζουσα·* Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ἀπὸ τῆς Ἀποδόσεως τῆς ἑορτῆς τῶν Εἰσοδίων μέχρι τῆς Παραμονῆς τῶν Χριστουγέννων ( κδ' Δεκεμβρίου ).

Κοντάκιον Προεόρτιον. Ἦχος γ'. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον* τὸν προαιώνιον Λόγον*

ἐν σπηλαίῳ ἔρχεται* ἀποτεκεῖν ἀποῤῥήτως.* Χόρευε,* ἡ οἰκουμένη,* ἀκουτισθεῖσα· * δόξασον,* μετὰ Ἀγγέλων* καὶ τῶν Ποιμένων* βουληθέντα ἐποφθῆναι* Παιδίον νέον,* τὸν πρὸ αἰώνων Θεόν.

Τῇ θ΄ Δεκεμβρίου. Ἡ Σύλληψις τῆς Ἁγίας Ἄννης.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον* ἡ οἰκουμένη* τὴν τῆς Ἄννης Σύλληψιν* γεγενημένην ἐν Θεῷ,* καὶ γὰρ αὐτὴ ἀπεκύησε* τὴν ὑπὲρ λόγον* τὸν Λόγον κυήσασαν.

Τῇ κε΄ Δεκεμβρίου. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται· Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος γ΄. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον* τὸν ὑπερούσιον τίκτει,* καὶ ἡ γῆ τὸ σπήλαιον* τῷ ἀπροσίτῳ προσάγει.* Ἄγγελοι* μετὰ Ποιμένων δοξολογοῦσι·* Μάγοι δὲ* μετὰ ἀστέρος ὁδοιποροῦσι·* δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη* Παιδίον νέον,* ὁ πρὸ αἰώνων Θεός.

Ἀπὸ τῆς ἑορτῆς τῶν Χριστουγέννων μέχρι τῆς Ἀποδόσεως ( λα΄ Δεκεμβρίου ), τὸ Κοντάκιον·

Ἡ Παρθένος σήμερον* τὸν ὑπερούσιον τίκτει...

Τῇ α΄ Ἰανουαρίου. Ἡ κατὰ σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐὰν τύχῃ ἡ ἑορτὴ ἐν Κυριακῇ λέγεται·

... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος.

Ὁ τῶν ὅλων Κύριος* περιτομὴν ὑπομένει,* καὶ βροτῶν τὰ πταίσματα* ὡς ἀγαθὸς διατέμνει,* δίδωσι* τὴν σωτηρίαν σήμερον κόσμῳ·* χαίρει δὲ* ἐν τοῖς ὑψίστοις* καὶ ὁ τοῦ Κτίστου* Ἱεράρχης καὶ φωσφόρος,* ὁ θεῖος μύστης* Χριστοῦ Βασίλειος.

Ἀπὸ τῆς β΄ Ἰανουαρίου μέχρι τῆς Παραμονῆς τῶν Θεοφανείων (ε΄ Ἰανουαρίου).

Κοντάκιον Προεόρτιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον* τοῦ Ἰορδάνου* γεγονὼς ὁ Κύριος,* τῷ Ἰωάννῃ ἐκβοᾷ·* Μὴ δειλιάσῃς βαπτίσαι με·* σῶσαι γὰρ ἥκω* Ἀδὰμ τὸν Πρωτόπλαστον.

Τῇ ς΄ Ἰανουαρίου. Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος δ΄. Αὐτόμελον.

Ἐπεφάνης σήμερον* τῇ οἰκουμένῃ,* καὶ τὸ φῶς σου, Κύριε,* ἐσημειώθη ἐφ᾿ ἡμᾶς* ἐν ἐπιγνώσει ὑμνοῦντάς σε·* Ἦλθες, ἐφάνης,* τὸ φῶς τὸ ἀπρόσιτον.

Ἀπὸ τῆς ἑορτῆς τῶν Θεοφανείων μέχρι τῆς Ἀποδόσεως ( ιδ' Ἰανουαρίου ), τὸ Κοντάκιον·

Ἐπεφάνης σήμερον...

Ἀπὸ τῆς Ἀποδόσεως τῆς ἑορτῆς τῶν Θεοφανείων μέχρι τῆς Ἀποδόσεως τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς.

Κοντάκιον. Ἦχος α'.

Ὁ μήτραν παρθενικὴν * ἁγιάσας τῷ τόκῳ σου,* καὶ χεῖρας τοῦ Συμεὼν * εὐλογήσας, ὡς ἔπρεπε,* προφθάσας καὶ νῦν * ἔσωσας ἡμᾶς, Χριστὲ ὁ Θεός.* Ἀλλ' εἰρήνευσον * ἐν πολέμοις τὸ πολίτευμα,* καὶ κραταίωσον * Βασιλεῖς, οὓς ἠγάπησας,* ὁ μόνος φιλάνθρωπος.

Τῇ β' Φεβρουαρίου. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν, ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον.

Ὁ μήτραν παρθενικήν..., ὡς ἄνω.

Ἀπὸ τῆς ἐνάρξεως τοῦ Τριῳδίου ( εἰ ἀπεδόθη ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς ), τὸ τῆς Κυριακῆς τοῦ Τριῳδίου Κοντάκιον, τουτέστιν·

Τῇ Κυριακῇ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν * ὑψηγορίαν,* καὶ Τελώνου μάθωμεν * ὕψος ῥημάτων ταπεινῶν,* ἐν μετανοίᾳ κραυγάζοντες·* Σῶτερ τοῦ κόσμου,* ἱλάσθητι δούλοις σου.

### Τῇ Κυριακῇ τοῦ Ἀσώτου.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τῆς πατρῴας * δόξης σου * ἀποσκιρτήσας ἀφρόνως, * ἐν κακοῖς ἐσκόρπισα * ὅν μοι παρέδωκας πλοῦτον· * ὅθεν σοι * τὴν τοῦ Ἀσώτου * φωνὴν προσφέρω· * Ἥμαρτον * ἐνώπιόν σου, * Πάτερ οἰκτίρμον· * δέξαι με μετανοοῦντα, * καὶ ποίησόν με * ὡς ἕνα τῶν μισθίων σου.

### Τῷ Σαββάτῳ τῆς Ἀπόκρεω.

Κοντάκιον. Ἦχος πλ. δ'.

Μετὰ τῶν Ἁγίων * ἀνάπαυσον, Χριστέ, * τὰς ψυχὰς τῶν δούλων σου, * ἔνθα οὐκ ἔστι πόνος, * οὐ λύπη, οὐ στεναγμός, * ἀλλὰ ζωὴ ἀτελεύτητος.

### Τῇ Κυριακῇ τῆς Ἀπόκρεω.

Κοντάκιον. Ἦχος α'.

Ὅταν ἔλθῃς, ὁ Θεός, * ἐπὶ γῆς μετὰ δόξης, * καὶ τρέμωσι τὰ σύμπαντα, * ποταμὸς δὲ τοῦ πυρὸς * πρὸ τοῦ βήματος ἕλκῃ, * καὶ βίβλοι ἀνοίγωνται, * καὶ τὰ κρυπτὰ δημοσιεύωνται, * τότε ῥῦσαί με * ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου, * καὶ ἀξίωσον * ἐκ δεξιῶν σού με στῆναι, * Κριτὰ δικαιότατε.

### Τῷ Σαββάτῳ τῆς Τυροφάγου.

Κοντάκιον. Ἦχος πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς εὐσεβείας κήρυκας * καὶ ἀσεβείας φίμωτρα, * τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας, * τὴν ὑφήλιον λάμποντα. * Ταῖς αὐτῶν ἱκεσίαις, * ἐν εἰρήνῃ τελείᾳ, * τούς σε δοξάζοντας * καὶ μεγαλύνοντας * διαφύλαξον, ψάλλειν καὶ ᾄδειν σοι· * Ἀλληλούϊα.

Τῇ Κυριακῇ τῆς Τυροφάγου.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. β'.

Τῆς σοφίας ὁδηγέ,* φρονήσεως χορηγέ,* τῶν ἀφρόνων παιδευτὰ* καὶ πτωχῶν ὑπερασπιστά,* στήριξον, συνέτισον* τὴν καρδίαν μου, Δέσποτα.* Σὺ δίδου μοι λόγον,* ὁ τοῦ Πατρὸς Λόγος˙* ἰδοὺ γὰρ τὰ χείλη μου* οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι˙* Ἐλεῆμον, ἐλέησόν με* τὸν παραπεσόντα.

Ἀπὸ τῆς πρώτης Κυριακῆς τῶν Νηστειῶν μέχρι τῆς πέμπτης Κυριακῆς.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,* ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια* ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε.* Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,* ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,* ἵνα κράζω σοι˙ Χαῖρε, Νύμφη ἀνύμφευτε.

Τῇ κδ' Μαρτίου. Προεόρτια τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου.

Κοντάκιον Προεόρτιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐπελεύσει Πνεύματος* τοῦ παναγίου,* τοῦ Πατρὸς τὸν σύνθρονον* καὶ ὁμοούσιον, φωνῇ* τοῦ Ἀρχαγγέλου συνέλαβες,* Θεοκυῆτορ,* Ἀδὰμ ἡ ἀνάκλησις.

Τῇ κε' Μαρτίου. Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου.

Εἰσοδικόν.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου σαρκωθείς, ψάλλοντάς σοι˙ Ἀλληλούϊα.

Ἐὰν τύχῃ ἡ ἑορτὴ ἐν Κυριακῇ, ψάλλεται˙

... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι˙ Ἀλληλούϊα.

### Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,* ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια* ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε.* Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,* ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,* ἵνα κράζω σοι· Χαῖρε, Νύμφη ἀνύμφευτε.

### Τῷ Σαββάτῳ τοῦ ἁγίου καὶ δικαίου Λαζάρου.

### Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἡ πάντων χαρά,* Χριστός, ἡ ἀλήθεια, τὸ φῶς, ἡ ζωὴ* τοῦ κόσμου, ἡ ἀνάστασις,* τοῖς ἐν γῇ πεφανέρωται,* τῇ αὐτοῦ ἀγαθότητι·* καὶ γέγονε τύπος τῆς ἀναστάσεως,* τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

### Τῇ Κυριακῇ τῶν Βαΐων.

### Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Κοντάκιον αὐτόμελον. Ἦχος πλ. β'.

Τῷ θρόνῳ ἐν οὐρανῷ,* τῷ πώλῳ ἐπὶ τῆς γῆς* ἐποχούμενος, Χριστὲ ὁ Θεός,* τῶν Ἀγγέλων τὴν αἴνεσιν,* καὶ τῶν Παίδων τὴν ὕμνησιν* προσεδέξω βοώντων σοι·* Εὐλογημένος εἶ ὁ ἐρχόμενος* τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

### Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

### Εἰσοδικόν.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ'.

Εἰ καὶ ἐν τάφῳ * κατῆλθες, ἀθάνατε, * ἀλλὰ τοῦ Ἅδου * καθεῖλες τὴν δύναμιν· * καὶ ἀνέστης ὡς νικητής, * Χριστὲ ὁ Θεός, * γυναιξὶ Μυροφόροις * φθεγξάμενος· Χαίρετε, * καὶ τοῖς σοῖς Ἀποστόλοις * εἰρήνην δωρούμενος, * ὁ τοῖς πεσοῦσι * παρέχων ἀνάστασιν.

Ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα μέχρι τῆς Ἀποδόσεως, καὶ τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Κοντάκιον αὐτόμελον.

Εἰ καὶ ἐν τάφῳ..., ὡς ἄνω.

Ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς ἑβδομάδος τοῦ Θωμᾶ μέχρι τῆς Ἀποδόσεως.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τῇ φιλοπράγμονι δεξιᾷ * τὴν ζωοπάροχόν σου πλευρὰν * ὁ Θωμᾶς ἐξηρεύνησε, * Χριστὲ ὁ Θεός· * συγκεκλεισμένων γὰρ τῶν θυρῶν * ὡς εἰσῆλθες, * σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα· * Κύριος ὑπάρχεις καὶ Θεός μου.

Τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς μέχρι τῆς Ἀποδόσεως.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς Ἑορτῆς τῆς νομικῆς * μεσαζούσης, * ὁ τῶν ἁπάντων ποιητὴς * καὶ Δεσπότης, * πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· * Δεῦτε καὶ ἀρύσασθε * ὕδωρ ἀθανασίας· * ὅθεν σοι προσπίπτομεν, * καὶ πιστῶς ἐκβοῶμεν· * Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· * σὺ γὰρ ὑπάρχεις * πηγὴ τῆς ζωῆς ἡμῶν.

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως.

Εἰσοδικόν.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ

σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ᾽ ἡμῶν εἰς τοὺς οὐρανούς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. β'.

Τὴν ὑπὲρ ἡμῶν * πληρώσας οἰκονομίαν, * καὶ τὰ ἐπὶ γῆς * ἑνώσας τοῖς οὐρανίοις, * ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, * οὐδαμόθεν χωριζόμενος, * ἀλλὰ μένων ἀδιάστατος, * καὶ βοῶν τοῖς ἀγαπῶσί σε· * Ἐγώ εἰμι μεθ᾽ ὑμῶν, * καὶ οὐδεὶς καθ᾽ ὑμῶν.

Ἀπὸ τῆς ἑορτῆς τῆς Ἀναλήψεως μέχρι τῆς Ἀποδόσεως.

Κοντάκιον αὐτόμελον.

Τὴν ὑπὲρ ἡμῶν..., ὡς ἄνω.

Τῇ Κυριακῇ τῆς Ἁγίας Πεντηκοστῆς.

Εἰσοδικόν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ'.

Ὅτε καταβὰς * τὰς γλώσσας συνέχεε, * διεμέρισεν ἔθνη ὁ Ὕψιστος· * ὅτε τοῦ πυρὸς * τὰς γλώσσας διένειμεν, * εἰς ἑνότητα πάντας ἐκάλεσε· * καὶ συμφώνως δοξάζομεν * τὸ πανάγιον Πνεῦμα.

Ἀπὸ τῆς Κυριακῆς τῆς Πεντηκοστῆς μέχρι τῆς Ἀποδόσεως.

Κοντάκιον.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε..., ὡς ἄνω.

Τῇ Κυριακῇ τῶν Ἁγίων πάντων.

Κοντάκιον αὐτόμελον. Ἦχος πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως, * τῷ φυτουργῷ τῆς κτίσεως * ἡ οἰκουμένη * προσφέρει σοι, Κύριε, * τοὺς

θεοφόρους Μάρτυρας. * Ταῖς αὐτῶν ἱκεσίαις, * ἐν εἰρήνῃ βαθείᾳ, * τὴν Ἐκκλησίαν σου, * τὴν πολιτείαν σου * διὰ τῆς Θεοτόκου * συντήρησον, πολυέλεε.

Ἀπὸ τῆς Κυριακῆς τῶν Ἁγίων πάντων μέχρι τῆς κζ' Ἰουλίου.

Κοντάκιον. Ἦχος β'.

Προστασία * τῶν χριστιανῶν ἀκαταίσχυντε, * μεσιτεία * πρὸς τὸν Ποιητὴν ἀμετάθετε, * μὴ παρίδῃς * ἁμαρτωλῶν δεήσεων φωνάς, * ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, * εἰς τὴν βοήθειαν ἡμῶν, * τῶν πιστῶς κραυγαζόντων σοι· * Τάχυνον εἰς πρεσβείαν, * καὶ σπεῦσον εἰς σωτηρίαν, * ἡ προστατεύουσα ἀεί, * Θεοτόκε, τῶν τιμώντων σε.

Τῇ β' Ἰουλίου. Ἡ κατάθεσις τῆς τιμίας Ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, * θεοχαρίτωτε Ἁγνή, ἐδωρήσω * τὴν ἱερὰν Ἐσθῆτά σου, μεθ' ἧς τὸ ἱερὸν * σῶμά σου ἐσκέπασας, * σκέπη θεία ἀνθρώπων· * ἥσπερ τὴν Κατάθεσιν * ἑορτάζομεν πόθῳ * καὶ ἐκβοῶντες κράζομεν πιστῶς· * Χαῖρε, Παρθένε, * χριστιανῶν τὸ καύχημα.

Τῇ κε' Ἰουλίου. Ἡ Κοίμησις τῆς ἁγίας Ἄννης, Μητρὸς τῆς Θεοτόκου.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προγόνων Χριστοῦ * τὴν μνήμην ἑορτάζομεν, * τὴν τούτων πιστῶς * αἰτούμενοι βοήθειαν, * τοῦ ῥυσθῆναι ἅπαντας * ἀπὸ πάσης θλίψεως τοὺς κραυγάζοντας· * Ὁ Θεός, γενοῦ μεθ' ἡμῶν, * ὁ τούτους δοξάσας, ὡς ηὐδόκησας.

Ἀπὸ τῆς κζ' Ἰουλίου μέχρι τῆς Ἀποδόσεως τῆς Μεταμορφώσεως (ιγ' Αὐγούστου).

Κοντάκιον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους* μετεμορφώθης* καὶ ὡς ἐχώρουν* οἱ μαθηταί σου* τὴν δόξαν σου, Χριστὲ ὁ Θεός,* ἐθεάσαντο,* ἵνα ὅταν σε ἴδωσι σταυρούμενον,* τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον,* τῷ δὲ κόσμῳ κηρύξωσιν,* ὅτι σὺ ὑπάρχεις ἀληθῶς* τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Τῇ α' Αὐγούστου. Ἡ Πρόοδος τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Κοντάκιον. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως,* τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ* τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός·* εὔφρανον δυνάμει σου* τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν,* νίκας χορηγῶν αὐτοῖς* κατὰ τῶν πολεμίων·* τὴν συμμαχίαν ἔχοιεν τὴν σήν,* ὅπλον εἰρήνης,* ἀήττητον τρόπαιον.

Ἰστέον ὅτι ἐὰν τύχῃ ἡ ἑορτὴ ἐν Κυριακῇ, πάλιν ψάλλεται τὸ Κοντάκιον·

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης..., ὡς ἄνω.

Τῇ ε' Αὐγούστου. Προεόρτια τῆς Μεταμορφώσεως.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐν τῇ θείᾳ σήμερον* Μεταμορφώσει* ἡ βροτεία ἅπασα* φύσις προλάμπει θεϊκῶς,* ἐν εὐφροσύνῃ κραυγάζουσα·* Μεταμορφοῦται* Χριστός, σῴζων ἅπαντας.

Τῇ ς' Αὐγούστου. Ἡ ἁγία Μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Θαβὼρ καὶ Ἑρμὼν τῷ ὀνόματί σου ἀγαλλιάσον-

ται. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος βαρύς.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης..., σελ. 285

Τῇ ιδ' Αὐγούστου. Προεόρτια τῆς Κοιμήσεως τῆς Θεοτόκου.

Κοντάκιον Προεόρτιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σου * ἡ οἰκουμένη * τῷ ἀΰλῳ Πνεύματι * πεποικιλμένη νοερῶς, * ἐν εὐφροσύνῃ κραυγάζει σοι· * Χαῖρε, Παρθένε, * Χριστιανῶν τὸ καύχημα.

Τῇ ιε' Αὐγούστου. Ἡ Κοίμησις τῆς ὑπεραγίας Θεοτόκου.

Εἰσοδικόν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι· Ἀλληλούϊα.

*Εἀν τύχῃ ἡ ἑορτὴ ἐν Κυριακῇ, λέγεται·*

...Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον αὐτόμελον. Ἦχος β'.

Τὴν ἐν πρεσβείαις * ἀκοίμητον Θεοτόκον * καὶ προστασίαις * ἀμετάθετον ἐλπίδα, * τάφος καὶ νέκρωσις οὐκ ἐκράτησεν· * ὡς γὰρ ζωῆς Μητέρα * πρὸς τὴν ζωὴν μετέστησεν * ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Ἀπὸ τῆς Ἀποδόσεως τῆς Κοιμήσεως, τουτέστιν ἀπὸ τῆς κδ' Αὐγούστου, μέχρι τῆς Ἀποδόσεως τῆς Θεοτόκου Γεννήσεως (ιβ' Σεπτεμβρίου).

Κοντάκιον. Ἦχος δ'.

Ἰωακεὶμ καὶ Ἄννα * ὀνειδισμοῦ ἀτεκνίας, * καὶ Ἀδὰμ καὶ Εὔα * ἐκ τῆς φθορᾶς τοῦ θανάτου * ἠλευ-

θερώθησαν, Ἄχραντε,* ἐν τῇ ἁγίᾳ Γεννήσει σου.* Αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, * ἐνοχῆς τῶν πταισμάτων * λυτρωθεὶς ἐν τῷ κράζειν σοι· * Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον * καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τῇ λα' Αὐγούστου. Ἡ Κατάθεσις τῆς τιμίας Ζώνης τῆς Θεοτόκου.

Κοντάκιον. Ἦχος β'.

Τὴν θεοδόχον * γαστέρα σου, Θεοτόκε, * περιβαλοῦσα * ἡ Ζώνη σου ἡ τιμία, * κράτος τῇ πόλει σου ἀπροσμάχητον * καὶ θησαυρὸς ὑπάρχει * τῶν ἀγαθῶν ἀνέκλειπτος, * ἡ μόνη τεκοῦσα ἀειπάρθενος.



# ΕΥΧΗ ΕΠΙ ΤΩΝ ΚΟΛΥΒΩΝ

## ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΑΓΙΟΥ

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τὴν γῆν παντοδαποὺς ἐκφύειν καρπούς, εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν· ὁ τοῖς σπέρμασι τοὺς τρεῖς Παῖδας, καὶ Δανιήλ, τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας· αὐτός, πανάγαθε Βασιλεῦ, καὶ τὰ σπέρματα ταῦτα σὺν τοῖς διαφόροις καρποῖς εὐλόγησον, καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι εἰς δόξαν σήν, καὶ εἰς τιμὴν τοῦ Ἁγίου (τοῦδε) ταῦτα προετέθησαν παρὰ τῶν σῶν δούλων, καὶ εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων. Παράσχου δέ, Ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα, καὶ τὴν μνήμην ἐπιτελοῦσι, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ τῶν αἰωνίων σου ἀγαθῶν τὴν ἀπόλαυσιν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ Ἁγίου (τοῦδε), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ ἀνάρχῳ Πατρὶ σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΕΥΧΗ

## ΕΙΣ ΤΟ ΕΥΛΟΓΗΣΑΙ ΤΑ ΒΑΪΑ,

### τῇ Κυριακῇ τῶν Βαΐων

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ἐξεγείρας τὴν δυναστείαν σου, καὶ ἀποστείλας τὸν μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τὸν κόσμον διὰ τοῦ σταυροῦ, τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου εἰς τὴν Ἱερουσαλὴμ ἐπὶ τὸ ἑκούσιον πάθος, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει καὶ σκιᾷ θανάτου, λαβόντες τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν δένδρων καὶ τὰ βαΐα τῶν φοινίκων, τὴν Ἀνάστασιν προεμήνυσαν· αὐτός, Δέσποτα, καὶ ἡμᾶς, τοὺς κατὰ μίμησιν ἐκείνων τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ βαΐα καὶ κλάδους δένδρων ἐν χερσὶ φέροντας διατήρησον, καὶ ὡς ἐκεῖνοι οἱ ὄχλοι, καὶ οἱ παῖδες τὸ ὡσαννά σοι βοῶντας διαφύλαξον· ὅπως ἐν ὕμνοις καὶ ᾄσμασι, καὶ ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν καὶ τῆς ζωοποιοῦ καὶ τριημέρου Ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΕΥΧΗ

## ΕΙΣ ΕΥΛΟΓΗΣΙΝ ΣΤΑΦΥΛΗΣ

### τῇ ς΄ τοῦ Αὐγούστου

Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τῆς ἀμπέλου τὸν νέον, ὃν διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ τῶν σταγόνων τῆς βροχῆς, καὶ τῆς τῶν καιρῶν γαλήνης, εἰς ταύτην τὴν ὡριμωτάτην στάσιν ἐλθεῖν ηὐδόκησας· ἵνα ᾖ ἐν ἡμῖν τοῖς ἐξ αὐτοῦ τοῦ γεννήματος τῆς ἀμπέλου μεταλαμβάνουσιν εἰς εὐφροσύνην, καὶ προσενέγκασι δῶρον εἰς ἐξιλασμὸν ἁμαρτιῶν, διὰ τοῦ ἱεροῦ καὶ ἁγίου Σώματος τοῦ Χριστοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.



# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ

Ὁ Ἱερεὺς ποιεῖ Εὐλογητόν, καὶ ὁ Ἀναγνώστης λέγει τὸ Ἅγιος ὁ Θεός, κ. τ. λ.

Εἶτα ψάλλεται τὰ παρόντα Τροπάρια εἰς Ἦχον δ′.

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν τοῦ δούλου σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοῦ, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Σὺ εἶ ὁ Θεὸς ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν τοῦ δούλου σου.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε, ἐλέησον. Τρίς.

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ (τοῦδε), καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ Χορός· Κύριε, ἐλέησον. Τρίς.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύονται. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν, παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ Χορός· Παράσχου, Κύριε.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· πᾶν ἁμάρτημα τὸ παρ᾽ αὐτοῦ πραχθὲν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια.

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου (τοῦδε), Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ἀπόλυσις.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου αὐτοῦ ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαύσαι, καὶ μετὰ δικαίων συναριθμήσαι, καὶ ἡμᾶς ἐλεήσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. Τρίς.

Αἴτησις λεγομένη κατὰ τὰ Σάββατα τῶν ψυχῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν κεκοιμημένων

ὀρθοδόξων χριστιανῶν, Βασιλέων, Ἀρχόντων, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Διακόνων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν, Πατέρων, Προπατόρων, Πάππων καὶ Προπάππων ἐκ τῶν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν... κ. τ. λ.



# ΑΙ ΕΥΧΑΙ ΟΠΙΣΘΑΜΒΩΝΟΙ

## ΤΩΝ ΔΕΣΠΟΤΙΚΩΝ

## ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ

### ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ἄναρχε καὶ ὑπερούσιε, παντεπόπτα καὶ παντοκράτορ, Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τῶν παραδόξων ποιητής, καὶ τῶν θαυμασίων Θεός, καὶ τῶν τεραστίων αὐτουργὸς καὶ ἀποτελεστής, ὁ τῶν ἀγαθῶν αἰτήσεων Δεσπότης, καὶ τῶν ἀπεγνωσμένων καὶ ἀπόρων ῥύστης, καὶ τῶν δι᾿ εὐχῆς ἐπιθυμουμένων μεγαλόδωρος βραβευτής, ὁ τοῖς ἀμέμπτως συμπεπολιτευμένοις δούλοις Ἰωακεὶμ καὶ Ἄννης τῆς στειρωτικῆς ἀπαιδίας καὶ ἀκαρπίας σκυθρωπότητα εἰς εὐπαιδίας μεταποιήσας φαιδρότητα, κοιλίας αὐτοῖς καρπὸν παρεχόμενος ὡραιότατον, ἣν ῥάβδον ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσειν μυστικῶς θεοκηρύκων ἠγόρευσαν στόματα, ἐξ ἧς τὸν κόσμον εὐοδιάζον ἄνθος ἐκφυῆναι σαρκικῶς ἔμελλες, ἡ τῶν ἀγαθῶν ἁπάντων ἀπαρχή τε καὶ πλήρωσις· σὺ καὶ νῦν πάσης ἀγαθοδοσίας καὶ φωτοχυσίας πηγὴ πέφυκας, καὶ χορηγὸς πλουσιώτατος, τῆς σὲ λοχευσαμένης ἀπειρογάμως

ἐκτελέσας τὸ τῆς κοινῆς χάριτος καὶ σωτηρίας προφανὲς γενέθλιον· καὶ τῶν θείων σου μυστηρίων τῆς θεοποιοῦ μεταλαχόντας ἱερουργίας, ἀπάλλαξον ἡμᾶς τῆς ἐν ἀγαθοῖς ἔργοις ἀγόνου στειρώσεως, καρποφορεῖν δέ σοι ἀεὶ τὰς ἀρετὰς καταξίωσον, ἵνα καὶ τῆς τῶν δικαίων κληρουχίας ἐν τῇ βασιλείᾳ σου μετασχῶμεν· ἐλευθέρωσον ἡμᾶς τῆς πικρᾶς καὶ διηνεκοῦς τῶν κρατούντων βαρβάρων ἐπαναστάσεως· ἐλάφρυνον ἡμῶν τὸν βαρὺν καὶ ἐπαχθῆ τῆς αὐτῶν δουλείας ζυγόν, μᾶλλον δὲ καὶ τελείαν ἀπαλλαγὴν χάρισαι τῆς τούτων τυραννίδος καὶ κατακρίσεως· εὐλόγησον τὸν λαόν σου καὶ περιφρούρησον τὴν κληρονομίαν σου, καὶ διάσωσον ἡμᾶς ἐκ πάσης ἐναντίων προσβολῆς καὶ κακώσεως· αὔξησον τοῦ χριστονύμου λαοῦ σου τὴν δόξαν, καὶ ὕψωσον τὸ κέρας καὶ ἔμπλησον οὐρανίων καὶ ἐπιγείων ἀγαθῶν τῆς εὐφορίας καὶ εὐκαρπίας ὡς τῶν ἀγαθῶν ἁπάντων πάροχός τε καὶ αἴτιος· πρεσβείαις τῆς παναχράντου σου Μητρός, ἡμῶν δὲ Δεσποίνης, καὶ πάντων τῶν Ἁγίων, μεθ' ὧν σοι τὴν λατρείαν καὶ προσκύνησιν προσκομίζομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΥΨΩΣΙΝ ΤΟΥ ΣΤΑΥΡΟΥ.

Ὁ παντὸς ὕψους ὑψηλότερος Κύριος, καὶ τὴν ἐπὶ τοῦ Σταυροῦ σωματικὴν ἑκούσιον

ὑπομείνας ὕψωσιν, ἵνα τῇ τῶν ἀχράντων σου χειρῶν ἐκτάσει πάντας ἑλκύσῃς πρὸς ἑαυτόν, καὶ τῇ πεπληρωμένῃ ταπεινώσεως ὑψώσει σου τὴν διὰ ψεύδους ὑψώσεως καὶ ματαίας οἰήσεως φύσιν ἡμῶν μέχρις Ἅδου καταβιβασθεῖσαν ὑψώσας· ὁ θεολογίᾳ ἐν τῇ γῇ τοῖς ἔθνεσιν ἀνυψούμενος, ὡς ὑψηλὸς βραχίων ὑψίστου Πατρὸς καὶ θυσίας αἰνέσεως δοξαζόμενος· ὁ διὰ τῆς ὑψώσεως τοῦ τιμίου σου Σταυροῦ στηλιτεύων τὴν ὑπὸ σοῦ πραχθεῖσαν ἐν αὐτῷ καθαίρεσιν τῆς τῶν δαιμόνων ἐπάρσεως, καὶ θριαμβεύων τὴν κατὰ τοῦ θανάτου νίκην, καὶ δημοσιεύων τὴν τοῦ γένους ἡμῶν ἐκ τῆς παλαιᾶς πτώσεως ἀνάκλησιν· μὴ δὲ νῦν παρίδῃς ἡμῶν τὰς δεήσεις δι᾿ ὧν τοὺς οἰκτιρμοὺς ᾐτήσαμέν τε καὶ αἰτοῦμεν· ἀλλ᾿ ὡς ἐλεήμων ἐλέησον ἡμᾶς πανηγυρίζοντας τὴν ἀνάδειξιν τοῦ σοῦ τροπαίου καὶ τὴν θείαν αὐτοῦ προσκύνησιν· βοήθημα κραταιὸν κατὰ πάσης τῆς τῶν νοητῶν δρακόντων ψυχοφθόρου δεινότητος χάρισαι, ποίησον ἡμῖν ὥσπερ πάλαι τοῖς ὑπὸ τῶν ὄφεων δακνομένοις Ἰσραηλίταις ἴασιν παρέσχες διὰ τῆς πρὸς τὸν ὑψωθέντα χαλκοῦν ὑπὸ Μωσέως ὄφιν ἀνανεύσεως· ταπείνωσον τὴν καθ᾿ ἡμῶν ὑψουμένην ἁμαρτίαν, καὶ τοὺς ὑπ᾿ αὐτῆς καταβεβλημένους ἡμᾶς ταῖς κατ᾿ αὐτῆς ἀνδραγαθίαις ἀνύψωσον· καὶ τοῖς βασιλεῦσι, καύχημα τὸν Σταυρὸν ἔχουσι, πᾶσαν βαρβάρων ἐπανάστασιν ὑπόταξον καὶ πάντα βραχίονα πολεμίων σύντριψον, καὶ

πᾶσαν τυράννων ὑπερηφανίαν κατάθραυσον· καὶ ὡς τὸν Ἀμαλὴκ τῇ σταυρῷ τύπῳ τῶν Μωσαϊκῶν χειρῶν ἐπάρσει πρώην ἐτροπώσω, οὕτως πᾶν κέρας ὑψούμενον κατὰ τῆς Ἐκκλησίας σου κατάβαλε· καὶ πᾶν ὕψος ἐπαιρόμενον κατὰ τῆς σῆς γνώσεως κατάλυσον· πᾶν στόμα ταῖς κατὰ σοῦ βλασφημίαις πλατυνόμενον ἀπόφραξον· καὶ πᾶσαν καρδίαν ὑπὸ ἀγνωσίας ἐσκοτισμένην φώτισον· ἀπόστησον ἡμῶν τὸν νοῦν πάσης ἐννοίας καθελκούσης ἀπό σου· ἵνα θεωρίαις οὐρανίαις καὶ μακαρίαις μετεωριζόμενοι καταντήσωμεν εἰς τὴν αἰώνιον καὶ ἀΐδιον καὶ ἀληθινὴν ὕψωσιν τὴν πρέπουσαν τοῖς ἀπεράντως ὑπὸ σοῦ ποιμαινομένοις καὶ τῆς σῆς βασιλείας κατατρυφῶσι· σὺ γὰρ εἶ ὁ ὑψῶν καὶ ταπεινῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΕΝ ΤΩ ΝΑΩ ΕΙΣΟΔΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, τίς ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις τῆς περὶ ἡμᾶς σου ἀγαθότητος, ὅτι τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἐξ αἰῶνος τῆς ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων τοῦ μονογενοῦς σου παιδὸς ἐνανθρωπήσεως φανερῶσαι βουλόμενος, καὶ τὴν πρὸς τὸν προφήτην Δαβὶδ ἐπαγγελίαν σου εἰς τέλος προθέμενος ἀγαγεῖν, τὴν ἁγνὴν ἐξελέξω Μητέρα σου εἰς κα-

τοίκησιν τῆς διὰ σαρκός σου ἐπιφανείας, ἀφ' ἧς προελθὼν τῷ ὁμοίῳ τὸ ὅμοιον ἔσωσας, καὶ δι' αὐτοῦ ἐξ αὐτῆς προσλήμματος ὅλου τοῦ γένους τὴν ἀνάπλασιν ἐπραγματεύσω· ἧς καὶ νῦν τὴν σεβασμίαν ἑορτάζοντες ἡμέραν τῆς ἐν τῷ Ναῷ εἰσόδου, εὐχαριστοῦμέν σοι τῷ δοτῆρι τῶν ἀγαθῶν, καὶ δεόμεθά σου δι' αὐτῆς ἐπιφάναι τὸ πρόσωπόν σου ἐφ' ἡμᾶς καὶ γνωρίσαι ἡμῖν ὁδόν, ἐν ᾗ πορευθέντες εὐαρεστήσομέν σου τῇ ἀγαθότητι, ῥύσασθαι ἡμᾶς τῶν τοῦ διαβόλου ἐπιβουλῶν, καὶ ὁδηγῆσαι πρὸς τὴν τῆς διὰ μετανοίας σωτηρίαν, καὶ ἐν φαιδρότητι ψυχῆς ἑορτάζειν τὴν ἁγίαν ταύτην ἑορτήν. Θεὸς γὰρ ἐλέους καὶ παρακλήσεως ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΧΡΙΣΤΟΥ.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πρὸ πάντων τῶν αἰώνων ἀπαθῶς ἐξ ἀνάρχου Πατρὸς ἐκλάμψας, ἐπ' ἐσχάτοις δὲ καιροῖς ἐκ Παρθένου ἁγίας σαρκωθεὶς καὶ γεννηθείς· ὁ δι' ἡμᾶς πτωχεύσας, ἵνα τῇ σῇ πτωχείᾳ πλουτήσωμεν· ὁ ἐν σπαργάνοις εἱλιχθεὶς ὡς βρέφος καὶ ἐν φάτνῃ ἀνακλιθεὶς θεϊκῶς· Δέσποτα, ὁ πάντα περιέπων, αὐτὸς πρόσδεξαι ἡμῶν τὰς εὐτελεῖς αἰνέσεις καὶ δεήσεις, ὥσπερ τὴν τῶν ποιμένων αἴνεσιν καὶ τὴν τῶν μάγων μετὰ δώρων προσκύ-

νησιν· καὶ συγχορευτὰς ἡμᾶς γενέσθαι καταξίωσον τῆς οὐρανίου στρατιᾶς, καὶ κληρονόμους ἀναδειχθῆναι ἀγαλλιάσεως οὐρανίου τῆς ἡτοιμασμένης τοῖς ἀξίως ἑορτάζουσί σου τὴν Γέννησιν· καὶ τοῖς πιστοῖς βασιλεῦσι νίκας δώρησαι· ὅτι φιλάνθρωπος εἶ καὶ δεδοξασμένος σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΤΩΝ ΑΓΙΩΝ ΘΕΟΦΑΝΕΙΩΝ

Ἄφατος ἡ πρὸς ἡμᾶς σου ἀγαθότης, Κύριε ὁ Θεὸς ἡμῶν· ὅτι τὸν μονογενῆ σου Υἱὸν εὐδοκήσας ἐκ γυναικὸς ἀφθόρου ἐνανθρωπῆσαι, καὶ κατὰ πάντα ὅμοιον ἡμῖν γενέσθαι χωρὶς ἁμαρτίας, καὶ βαπτισθῆναι ὡς ἄνθρωπος δι᾽ ἡμᾶς ὑπὸ Ἰωάννου τοῦ Προδρόμου, τὸν μὴ χρῄζοντα καθάρσεως, ἀλλ᾽ ἵνα, τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας, τὴν ἐξ ὕδατος καὶ Πνεύματος ἀναγέννησιν ἡμῖν χαρίσηται, ἵνα ἐπιγνόντες σε τὸν ἄναρχον Πατέρα, προσκυνῶμεν τὸν οὐρανόθεν αὐτὸν Υἱὸν ἀγαπητόν σου ἀνακηρύξαντα βαπτιζόμενον, καὶ τὸ πανάγιόν σου Πνεῦμα δοξάζωμεν τὸ καταβὰν ἐπ᾽ αὐτὸν καὶ φανερῶσαν αὐτὸν τῷ βαπτίζοντι, ἐν ᾧ καὶ ἡμᾶς σφραγίσας καὶ χρίσας διὰ τοῦ βαπτίσματος μετόχους ἐποίησας τοῦ Χριστοῦ σου· οὗπερ μὴ ὑστερήσῃς ἡμᾶς τοὺς ἁμαρτωλούς, ἀλλὰ δι᾽ αὐτοῦ κραταίωσον καὶ ἐνίσχυσον ἡμᾶς κατὰ πά-

σης πονηρᾶς δυνάμεως· καὶ τοὺς πιστοὺς βασιλεῖς κατὰ πάσης τυραννίδος ἐνίσχυσον, καὶ πάντας ἡμᾶς εἰς τὴν βασιλείαν σου ὁδήγησον, ἵνα καὶ ἐν ἡμῖν δοξασθῇ τὸ πανάγιον ὄνομά σου καὶ τοῦ μονογενοῦς σου Υἱοῦ ἅμα τῷ Ἁγίῳ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ

Δέσποτα Κύριε ὁ Θεός, ὁ τὸν μονογενῆ σου Υἱὸν καὶ Λόγον ἐξαποστείλας εἰς τὸν κόσμον, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον ἐξαγοράσῃ· καὶ διὰ τοῦ Πνεύματός σου τὴν αὐτοῦ παρουσίαν τῷ πρεσβύτῃ Συμεὼν προευαγγελισάμενος, καὶ τοῦτον αὐτῷ παρόντα καταμηνύσας, αὐτὸς καὶ ἡμᾶς τοὺς ἀναξίους δούλους σου εὐλόγησον τῇ σῇ ἐπιλάμψει, καὶ πρόσδεξαι ἡμῶν τὰς δεήσεις, ὥσπερ τὴν τῆς προφήτιδος Ἄννης ἐξομολόγησιν· καὶ καταξίωσον ἡμᾶς νοεραῖς ἀγκάλαις περιπτύσσεσθαι τὸν σεσαρκωμένον σου Λόγον, καὶ ναοὺς ἡγιασμένους χρηματίζειν τοῦ παναγίου σου Πνεύματος· καὶ τοὺς πιστοὺς βασιλεῖς εὔφρανον τῇ δυνάμει σου, τὴν κατὰ τῶν ἐχθρῶν αὐτῶν χαριζόμενος νίκην· ἵνα καὶ ἐν ἡμῖν δοξασθῇ τὸ μεγαλοπρεπὲς ὄνομά σου, καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ προσκυνητοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ εὐδοκήσας τὸν μονογενῆ σου Υἱὸν σαρκωθῆναι ἐξ ἀπειρογάμου γυναικός, καὶ ἐνανθρωπῆσαι διὰ τὴν ἡμῶν σωτηρίαν, ἀπέστειλας δὲ τὸν σὸν ἀρχάγγελον Γαβριὴλ τὴν αὐτοῦ ἄσπορον σύλληψιν εὐαγγελιζόμενον τῇ ἁγίᾳ Παρθένῳ Μαρίᾳ, ἣν προώρισας πρὸ τῶν αἰώνων ἐργαστήριον γενέσθαι τοιούτου φοβεροῦ μυστηρίου, προγνωσθέντος σοι καὶ αὐτῷ τῷ συναϊδίῳ σου Λόγῳ, αὐτός, ταῖς πρεσβείαις αὐτῆς καὶ πάντων τῶν Ἁγίων σου, εὐαγγέλισον ταῖς ψυχαῖς ἡμῶν διὰ τῆς σῆς χάριτος τὴν τῶν ἁμαρτημάτων ἄφεσιν καὶ χαρὰν ἀναφαίρετον· λάλησον εἰρήνην ἐπὶ τὸν λαόν σου· γνώρισον ἡμῖν ὁδόν, ἐν ᾗ πορευθέντες εὐαρεστήσομεν τῇ σῇ ἐπουρανίῳ βασιλείᾳ· διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ σου, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ.

Ὑμνοῦμέν σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν ἄφραστον συγκατάβασιν· ὅτι θρόνον ἔχων τὸν οὐρανὸν καὶ τὴν γῆν ὑποπόδιον, οὐκ ἀπηξίωσας ἐκ Παρθένου ἁγίας σαρκωθῆναι καὶ τεχθῆναι ὡς ἄνθρωπος, καὶ ἐν φάτνῃ ἀλό-

γων ἀνακλιθῆναι ὡς βρέφος, ἀλλὰ καὶ πώλῳ ἐπικαθῖσαι καὶ πάθος ἑκούσιον ὑπὲρ ἡμῶν ὑπομεῖναι παραγενόμενος· ὁ τοῖς ἀσιγήτοις ὕμνοις τῶν οὐρανίων Δυνάμεων θεοπρεπῶς ἀνυμνούμενος, καὶ καινὸν ἐπὶ γῆς ὕμνον ᾆσαι, τὴν ἀπειρόκακον πληθὺν ἐσόφισας, ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον καταρτισάμενος, καὶ γλώσσαις ψελλιζούσαις διδάξας λαλεῖν τὴν ἐν οὐρανῷ δόξαν καὶ ἐπὶ γῆς εἰρήνην, μεθ᾽ ὧν καὶ ἡμᾶς τοὺς ἀναξίους δούλους σου πρόσδεξαι ἐπινικίους ᾠδὰς προσᾴδοντάς σοι τῷ νικητῇ τοῦ θανάτου, εὐλογημένον κηρύττοντάς σε τὸν ἐν ὀνόματι Θεοῦ προσελθόντα, μὴ ἐκστάντα δὲ τῆς πατρῴας δόξης, καὶ πάλιν ἐρχόμενον κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. Καὶ καταξίωσον ἡμᾶς τῆς σῆς ἐπιβάσεως καὶ ὑποδοχῆς, κοσμήσας ἡμᾶς τοῖς κατὰ τῶν παθῶν νικητηρίοις ἀγῶσι, καὶ τοῖς τῶν ἀρετῶν κάλλεσι στεφανώσας ἀντὶ βαΐων καὶ κλάδων, ἵνα φαιδρῶς ὑπαντήσωμέν σοι ἐρχομένῳ ἐπὶ τῶν νεφελῶν ἐν δόξῃ, καὶ τῆς σῆς βασιλείας κληρονόμοι γενώμεθα· καὶ τοῖς πιστοῖς βασιλεῦσι νίκας δώρησαι κατὰ τῶν πολεμίων· ὅτι φιλάνθρωπος εἶ καὶ δεδοξασμένος σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΤΗ ΑΓΙΑ ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

Λαμπρὰ ἡμῖν καὶ σωτήριος σήμερον ἡμέρα ἐπέφανεν, ἀδελφοί, ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Ἀνάστασις· καὶ διὰ τοῦτο διαφόροις ἀνδράσι κεκόσμηται ὁ τοῦ Κυρίου ναός. Ἰδοὺ γὰρ καὶ πολλοὶ τῶν ἐκλεκτῶν καὶ πιστῶν οὐ μόνον τὸν τῆς νηστείας κόπον ἱλαρῶς ὑπήνεγκαν, ἀλλ᾽ ἔτι, καὶ λαμπάδας ἀνάψαντες, τῇ τῆς Ἀναστάσεως ἑορτῇ προθύμως τῷ Βασιλεῖ τῶν αἰώνων δῶρα προσέφερον. Τῇ γὰρ Ἀναστάσει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, χαίρει πᾶσα ἡ οἰκουμένη, ὁ οὐρανὸς καθαίρεται τῇ αἴγλῃ τῆς Θεότητος, γῆ στολίζεται, θάλασσα πραΰνεται, τύραννοι παύουσιν, εὐσεβεῖς προκόπτουσιν, κατηχούμενοι φωτίζονται, ἐχθροὶ εἰς εἰρήνην ἔρχονται, πεπλανημένοι ἐπιστρέφουσιν, αἱ ἁμαρτίαι λύονται, αἱ Ἐκκλησίαι εὐφραίνονται, καὶ Χριστὸς ὁ Θεὸς δοξάζεται, ἀλλὰ καὶ μητέρες λαμπραῖς ἀγκάλαις τῷ Βασιλεῖ τῶν αἰώνων δῶρα προσάγουσι, οὐχὶ λειμόνων ἄνθη, ἀλλὰ τὴν τῶν νεοφωτίστων χάριν τοῦ Πνεύματος. Διὸ καὶ ἡμῶν τῶν ταπεινῶν ἱερέων τὴν θυσίαν καὶ λατρείαν πρόσδεξαι, τῶν ἐκ νεότητος ἡμῶν μέχρι γήρους πλημμελημάτων ἄφεσιν δώρησαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἡμῶν. Τοῖς ὀρθοδόξοις βασιλεῦσιν νίκας δώρησαι κατὰ τῶν πολεμίων. Τὸν Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαξον ἐν τῷ τιμίῳ θρόνῳ αὐτοῦ. Τὸν ἅπαντα

κλῆρον καὶ λαὸν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον. Τὸν περιεστῶτα λαὸν καὶ ἐν ἀπολαύσει γενόμενον τῶν θείων καὶ ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων φρούρησον, ἐλέησον καὶ διαφύλαξον· πρεσβείαις τῆς ἀχράντου σου Μητρός, τῶν ἁγίων Ἀποστόλων καὶ τῶν μυροφόρων γυναικῶν· ὅτι σὺ εἶ ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΑΝΑΛΗΨΙΝ.

Ὕψωσον ἡμῶν, Δέσποτα, πρὸς οὐρανὸν τὰ φρονήματα τῶν προσκυνούντων σου τὸ κράτος, καὶ τὸν νοῦν ἡμῶν ἀπὸ τῶν γηΐνων φροντίδων ἕλκυσον πρὸς ἑαυτόν, ὁ τὴν ταπεινωθεῖσαν φύσιν ἡμῶν ἐν ἑαυτῷ ὑψώσας, καὶ σύνθρονον τῷ ὑψίστῳ ποιήσας Πατρί. Καὶ καταξίωσον ἡμᾶς ἐπὶ γῆς ὡς ἐν οὐρανῷ πολιτεύσασθαι τὰ ἄνω ζητοῦντας, ὅπου εἶ ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος, καὶ προσδοκῶντάς σου τὴν ἔνδοξον καὶ φοβερὰν παρουσίαν, ἧς τὸν τρόπον δι' Ἀγγέλων ἐγνώρισας τοῖς θεαταῖς τῆς εἰς τοὺς οὐρανοὺς ἀνόδου σου μακαρίοις Ἀποστόλοις. Καὶ συγκαταρίθμησον ἡμᾶς τοῖς ἐν ταῖς νεφέλαις ἁρπαζομένοις εἰς ἀπάντησίν σου ἐρχομένου κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύ-

νῃ, ἵνα σὺν αὐτοῖς αἰωνίως ἀγαλλιασώμεθα, τῆς σῆς τερπνότητος ἀπολαύοντες· τῇ εὐδοκίᾳ καὶ φιλανθρωπίᾳ τοῦ ἀνάρχου σου Πατρός, μεθ᾽ οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ

Ὁ τὴν σὴν ἀνάβασιν, μετὰ τὸ πάθος καὶ τὴν Ἀνάστασιν, εἰς οὐρανοὺς οἰκονομήσας οὓς ἔκλινας πρὸς τὸ δι᾽ ἡμᾶς ἐκ Παρθένου σαρκωθῆναι καὶ καταβάς, Χριστέ, τὴν σὴν ἐπαγγελίαν ἐπὶ γῆς θεμελιώσας τῇ τοῦ Παρακλήτου σου Πνεύματος ἐπιφυτήσει ἐπὶ τοὺς γηΐνους σου μαθητάς· ἑδραῖαν δὴ καὶ παναγίαν ἐν αὐτοῖς καταμονὴν καὶ δι᾽ αὐτῶν εἰς σὲ πιστεύσασι βεβαίᾳ ἐνδημίᾳ, καὶ τοῖς ποικίλοις αὐτοῦ χαρίσμασι τὴν Ἐκκλησίαν ὑποστηρίζων, μὴ ἀντανέλῃς τὴν αὐτοῦ χάριν ἀφ᾽ ἡμῶν, ὡς ὑπὸ τῆς ἁμαρτίας βεβηλωθέντων, ἀλλὰ νέκρωσον πᾶν σαρκικὸν ἐνυπάρχον ἐν ἡμῖν φρόνημα, τὸ κωλύον τὴν ἐν ἡμῖν αὐτοῦ παρουσίαν, πᾶσαν ἔννοιαν, λαλιάν τε καὶ πρᾶξιν λυποῦσαν αὐτὸ ἀποδίωξον ἀφ᾽ ἡμῶν, καὶ πᾶν μιαρὸν πάθος ἐνοχλοῦν καὶ σκοτεινὰς ἀποτελοῦν ἡμῶν τὰς ψυχὰς τῇ στερήσει τοῦ φωτὸς αὐτοῦ· ποίησον ἡμᾶς καθαρὰ δοχεῖα τῆς αὐτοῦ δόξης, μιμουμένους τὸ τῆς Σιὼν ὑπερῷον, πληρωθὲν αὐτοῦ τῆς λαμπρότητος· θρόνους ἡμᾶς ἀνάδει-

ξον τοῦ νοεροῦ πυρὸς αὐτοῦ ἀφομοιουμένους τοῖς τὴν ἀπαρχὴν αὐτοῦ δεξαμένοις Ἀποστόλοις σου· ὅπως, ὑπ᾽ αὐτοῦ στηριζόμενοι, ὁδηγηθῶμεν εἰς τὴν εὐθεῖαν γῆν τῆς ἀθανάτου σου καὶ μακαρίας ἐπαγγελίας· ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία ἐν σοί, καὶ διηνεκῶς σε δοξαζόντων· ὑπερένδοξος γὰρ ὑπάρχεις ἅμα τῷ συνανάρχῳ σου Πατρί, καὶ τῷ συναϊδίῳ καὶ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ.

Δέσποτα Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνάγαγε ἡμᾶς εἰς τὸ τῆς ἀγάπης ὑπεράγιον ὄρος, ὡς τοὺς κορυφαίους σου μαθητὰς εἰς ὄρος ὑψηλόν, καὶ διάνοιξον ἡμῶν τοὺς νοεροὺς ὀφθαλμοὺς εἰς θέαν τῆς ἀνεκλαλήτου εὐπρεπείας, ὡς ἐκείνοις περιέλαμψας τὴν σωματικήν σου μορφὴν παραδόξῳ λαμπρότητι, τὴν ἀκτῖνα σου τῆς θεότητος διὰ τῆς σαρκός σου δείξας αὐτοῖς. Ὁδήγησον καὶ ἡμᾶς εἰς τὸ κρεῖττον τῇ παντοδυνάμῳ σου δεξιᾷ. Ὁ τὴν ὁρωμένην μορφὴν ὑπὲρ λόγον ἐναλλάξας, αἴσθησιν ἡμῖν ἐμποίησον ἀῤῥαγῆ τῆς σῆς κυριότητος τῆς ὑπὸ Μωσέως καὶ Ἠλιοῦ μαρτυρηθείσης· καὶ μνήμην ἡμῖν ἄπαυστον ἔμβαλε τῆς τοῦ ἀνάρχου σου Πατρὸς φωνῆς, Υἱὸν ἀγαπητόν σε δηλούσης· ἵνα τῶν σῶν ἐντολῶν ἐργάται γενόμενοι συνεκλάμψωμεν τοῖς ἠξιωμένοις τῆς ἀφθάρτου σου

βασιλείας, ὁρῶντες ἐν σοὶ τὸν ἄναρχόν σου Πατέρα, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ θανάτου τὴν ἄφθορόν σου Μητέρα ἐκ ζωῆς πρὸς ζωὴν τὴν ἀκήρατον μεταστήσας, καὶ ταφεῖσαν αὐτὴν τῆς ἐν τάφῳ διαφθορᾶς ὑπὲρ λόγον ὑψηλοτέραν ἐργασάμενος, καὶ πρὸς κηδείαν αὐτῆς τοὺς σοὺς Ἀποστόλους πανταχόθεν συναγαγών, αὐτός, ταῖς πρεσβείαις αὐτῆς, πάντας ἡμᾶς τοὺς τὴν αὐτῆς ἑορτάζοντας μετάστασιν λύτρωσαι πάσης νεκρᾶς ἐννοίας καὶ πράξεως, καὶ πάσης ψυχικῆς διαφθορᾶς ἐλευθέρωσον, τοῦ τῆς ἀπογνώσεως θανάτου διάσωσον, καὶ τοῦ τῆς ἀπιστίας καὶ κακοπιστίας μνήματος διαφύλαξον· καὶ τοῖς πιστοῖς βασιλεῦσι πᾶσαν ἐπιβουλὴν καὶ τυραννίδα κατακοίμησον, καὶ πᾶσαν βαρβάρων θρασύτητα νέκρωσον, καὶ πάντων τῶν ἐπανισταμένων τῷ σῷ κηρύγματι τὰ φρυάγματα ταπείνωσον· καὶ πάντας τῆς αἰωνίου ζωῆς καταξίωσον, ὅτι πάντας ἀνθρώπους θέλεις σωθῆναι, καὶ πρέπει σοι δόξα, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

# ΑΡΧΙΕΡΑΤΙΚΗ ΧΟΡΟΣΤΑΣΙΑ

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ἐὰν μὲν ὑπάρχῃ Ἀρχιερεύς, ἡ ἐννάτη Ὥρα ἀναγινώσκεται ἢ ἐν τῇ οἰκίᾳ αὐτοῦ, μεθ' ἣν προηγουμένων τῶν Ἱερέων, καὶ ἑπομένων τῶν Διακόνων, κατέρχεται εἰς τὸν Ναόν, ἐνδεδυμένος Ῥάσον καὶ φορῶν τὸ Ἐπικαλυμμαύκιον, ἢ ἐν τῷ Νάρθηκι, πρὸ τῆς θύρας τοῦ Ναοῦ· μεθ' ἣν ἐνδυσάμενος τὸν Ἀρχιερατικὸν Μανδύαν, καὶ λαβὼν ἐκ τῆς χειρὸς τοῦ πρώτου τῇ τάξει Ἱερέως τὴν ποιμαντικὴν Ῥάβδον, εἰσέρχεται οὕτως ἐν τῷ Ναῷ, καὶ στὰς ἐν τῷ μέσῳ πρὸ Θρόνου, καὶ προσκυνήσας τρίς, εὐλογεῖ τὸν λαόν, ἀμφοτέρων τῶν Χορῶν ψαλλόντων ἀργῶς καὶ μετὰ μέλους· Εἰς πολλὰ ἔτη, δέσποτα· καὶ ἀνέρχεται εἰς τὸν Θρόνον, ἀσπαζόμενος τὴν ἐν αὐτῷ Δεσποτικὴν εἰκόνα. Τότε προσελθὼν ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου, ποιοῦσιν αὐτῷ μετάνοιαν, καὶ τὴν δεξιὰν αὐτοῦ ἀσπασάμενοι, καὶ εὐλογίαν λαβόντες, εἰσέρχονται εἰς τὸ Ἱερόν. Εἶτα ὁ Ἱερεὺς λαβὼν τὸ Ἐπιτραχήλιον, καὶ περιθεὶς αὐτὸ ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀρχιερεύς· Ἀμήν. Δεῦτε προσκυνήσωμεν, τρίς· καὶ ἀναγινώσκει τὸν Προοιμιακὸν Ψαλμόν.

Εἰς τὴν Εἴσοδον, τοῦ Διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ Ἀρχιερεὺς λέγει μυστικῶς τὴν εὐ-

χὴν τῆς Εἰσόδου. Εἶτα ὁ Διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον. Ὁ Ἀρχιερεὺς λέγει· Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τότε ὁ Διάκονος ἐξ οὗ ἵσταται, θυμιάσας τὸν Ἀρχιερέα καὶ τὰς εἰκόνας τῶν βασιλικῶν πυλῶν ἐκφωνεῖ· Σοφία, ὀρθοί.

Καὶ θυμιῶν εἰσέρχεται εἰς τὸ Ἱερόν· ὡσαύτως καὶ ὁ Ἱερεὺς ὑποκλίνας τῷ Ἀρχιερεῖ ἢ ἐνώπιον τοῦ Θρόνου τὴν κεφαλήν, εἰσέρχεται καὶ αὐτὸς εἰς τὸ Ἱερὸν διὰ τῆς Ὡραίας Πύλης· ὁ μὲν Διάκονος θυμιᾷ τὸν Ἱερέα εἰσερχόμενον· ὁ δὲ Ἀρχιερεὺς ἀναγινώσκει τὴν ἐπιλύχνιον εὐχαριστίαν· Φῶς ἱλαρόν.

Μετὰ τὴν Ἐκτενῆ· Εἴπωμεν πάντες, ὁ Ἀρχιερεὺς ἀναγινώσκει τὸ Καταξίωσον, Κύριε...., καὶ μετὰ τὴν Ἐκφώνησιν· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος, αὐτὸς εὐλογεῖ τὸν λαόν, λέγων· Εἰρήνη πᾶσι. Καὶ πάντων κλινόντων τὰς κεφαλάς, λέγει μυστικῶς τὴν εὐχὴν τῆς κεφαλοκλισίας, καὶ ἐκφωνεῖ· Εἴη τὸ κράτος...

Ἀρτοκλασίας δὲ οὔσης, ἐνδεδυμένος Ἐπιτραχήλιον καὶ μικρὸν Ὠμοφόριον, μετὰ τὴν Ἐκτενῆ τῆς Λιτῆς ἐκφωνεῖ· Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν... καὶ εὐλογεῖ τὸν λαόν, λέγων· Εἰρήνη πᾶσι, καὶ μεγαλοφώνως ἐπεύχεται, λέγων· Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ... Εἶτα θυμιᾷ σταυροειδῶς τοὺς ἄρτους καὶ ἐπεύχεται μεγαλοφώνως· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν...

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ψαλμοῦ, ἀπὸ τοῦ Θρόνου εὐλογεῖ τὸν λαόν, ἐκφωνῶν· Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ἡμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ...

Μετὰ τὴν Ἀπόλυσιν, οἱ Χοροὶ ἀμφότεροι ψάλλουσι·

Τὸν δεσπότην καὶ Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε· εἰς πολλὰ ἔτη, δέσποτα (τρίς)· αὐτὸς δὲ ἀπὸ τοῦ Θρόνου εὐλογήσας τὸν λαὸν διὰ τοῦ τιμίου Σταυροῦ, κατέρχεται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, καὶ τρεῖς μικρὰς μετανοίας ποιήσας ἐξέρχεται.

Ἐν δὲ τῷ ἀπεκδύεσθαι τὸν Ἀρχιερέα τὸν ἱερὸν Μανδύαν, ὁ Πριμικήριος ἢ ὁ Λαμπαδοῦχος ἐκφωνεῖ τὸν πολυχρονισμὸν αὐτοῦ. Ὁ Ἀρχιερεύς, ἀμφοτέραις ταῖς χερσὶν εὐλογήσας τὸν λαόν, ἀπέρχεται.

Ἐὰν δὲ μὴ ὑπάρχῃ ἀρτοκλασία, τότε ὁ Διάκονος μετὰ τὸ Θεοτοκίον Ἀπολυτίκιον, ἐκφωνεῖ· Σοφία.

Ὁ Ἱερεύς· Ὁ ὢν εὐλογητός, Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἀρχιερεύς· Στερέωσαι, Χριστὲ ὁ Θεός, τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σὺν τῇ ἁγίᾳ ταύτῃ ἐκκλησίᾳ (ἢ μονῇ) εἰς αἰῶνας αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς, καὶ τὰ λοιπά.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Ἐὰν μέλλῃ χοροστατήσειν ἢ λειτουργήσειν Ἀρχιερεύς, κατέρχεται ἐν τῷ Ναῷ, καὶ εὐλογήσας, ὡς ἐν τῷ Ἑσπερινῷ, ἀνέρχεται εἰς τὸν Θρόνον, καὶ παρ᾽ αὐτοῦ λαμβάνουσι καιρὸν οἱ ἱερουργήσοντες Ἱερεῖς καὶ Διάκονοι, ὅσοι ἂν ὦσι.

Πρὸ τῆς ἀναγνώσεως τοῦ ἑωθινοῦ Εὐαγγελίου, ὁ Ἀρχιερεὺς εὐλογεῖ τὸν λαόν, λέγων· Εἰρήνη πᾶσι. Καὶ μετὰ τὸ τέλος τοῦ Εὐαγγελίου πάλιν εὐλογεῖ με-

τὰ τοῦ τιμίου Σταυροῦ, ἀμφοτέρων τῶν Χορῶν ψαλλόντων τὸ Εἰς πολλὰ ἔτη, δέσποτα· καὶ ἀναγινώσκει τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, εἰ ἐστὶ Κυριακή. Καὶ ὁ Ἱερεὺς βαστάζων τὸ ἱερὸν Εὐαγγέλιον, ἐξέρχεται τῆς Ὡραίας Πύλης, καὶ στὰς ἐν τῷ μέσῳ τοῦ Ναοῦ, προσφέρει αὐτὸ εἰς προσκύνησιν τῷ Ἀρχιερεῖ, καὶ ἐφεξῆς προϊών, παντὶ τῷ λαῷ. Ὁ δὲ Ἀρχιερεὺς μετὰ τὸν ἀσπασμὸν εὐλογήσας διὰ τῆς δεξιᾶς τὸν λαὸν ἀνέρχεται εἰς τὸν Θρόνον.

Μετὰ δὲ τὴν ἐκπλήρωσιν τοῦ Κανόνος, τοῦ πρώτου Χοροῦ ἀντικαθίσταται ὁ Ἀρχιερεὺς χοροστατῶν, καὶ ψάλλει ἐφεξῆς τὸ Ἐξαποστειλάριον· ὁσάκις δὲ ψάλλει ὁ Ἀρχιερεύς, οἱ Χοροὶ κατέρχονται τῶν στασιδίων αὐτῶν.

Εἰς τοὺς Αἴνους, ὅτε ὁ δεύτερος Χορὸς ἄρχεται τοῦ Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ, ὁ Ἀρχιερεὺς καταβὰς προσκυνεῖ τὰς Δεσποτικὰς εἰκόνας, καὶ ἐλθὼν ἐν τῷ μέσῳ τοῦ Ναοῦ, εὐλογεῖ τὸν λαόν, τοῦ πρώτου Χοροῦ ψάλλοντος τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, καὶ ἀνέρχεται εἰς τὸν Θρόνον.

Εἰ δὲ ὁ Ἀρχιερεὺς μέλλει λειτουργήσειν, καὶ ἐνδύσεσθαι ἐντὸς τοῦ Βήματος, κατέρχεται τοῦ Θρόνου μετὰ τὸ Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ· καὶ στὰς ἔμπροσθεν τῶν Ὡραίων Πυλῶν, ἔχων περὶ αὐτὸν Διακόνους κρατοῦντας Δικηροτρίκηρα, λαμβάνει καιρόν· ὁ δὲ α΄ Χορὸς ψάλλει ἀργῶς τὸ Τὸν δεσπότην καὶ Ἀρχιερέα ἡμῶν. Μετὰ δὲ τὴν εὐχήν· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου, στραφεὶς εὐλογεῖ τὸν λαὸν μετὰ τοῦ Τρικηρίου, τοῦ β΄ Χοροῦ ψάλλοντος τὸ Εἰς πολλὰ ἔτη· καὶ εἰσέρχεται εἰς τὸ Βῆμα ἐνδυσόμενος· ἐν δὲ τῷ ἐνδύεσθαι αὐτόν, οἱ Χοροὶ ψάλλουσι τὰ τροπάρια τῶν Αἴνων.

Ἀρχομένης δὲ τῆς Δοξολογίας, ἐξέρχεται τοῦ Βή-

ματος ὁ Ἀρχιερεύς, προηγουμένων τῶν Διακόνων καὶ τῶν συλλειτουργούντων Ἱερέων, καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, προευτρεπισθέντος Θρόνου, καὶ ὑποστρωθέντος πευκίου· εἰ δὲ συλλειτουργοῦσι πολλοὶ Ἀρχιερεῖς τίθενται καὶ δι᾽ αὐτοὺς ἔνθεν καὶ ἔνθεν τὰ ἀναγκαῖα καθίσματα· καὶ οἱ μὲν Διάκονοι μετὰ δικηροτρικήρων ἵστανται πέριξ τοῦ πρώτου τῶν Ἀρχιερέων, οἱ δὲ Ἱερεῖς μετὰ τοὺς ἄλλους Ἀρχιερεῖς ἔνθεν καὶ ἔνθεν.

Τότε ὁ πρῶτος τῶν Διακόνων λέγει τὴν Ἐκτενῆ, χαμηλῇ τῇ φωνῇ· Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα, κ. τ. λ. Ὁ Ἀρχιερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Ὁ δὲ β΄ Διάκονος· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν... Ὁ Ἀρχιερεύς· Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν... Εἰρήνη πᾶσι. Ὁ Διάκονος· Τὰς κεφαλὰς ἡμῶν... Ὁ Ἀρχιερεὺς τὴν Εὐχήν· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν... Ὁ Διάκονος· Σοφία. Ὁ Ἀρχιερεύς· Ὁ ὢν εὐλογητός... καὶ ποιεῖ μεγάλην Ἀπόλυσιν.

Εἰ δὲ μέλλει ὁ Ἀρχιερεὺς λειτουργήσειν καὶ ἐνδύσεσθαι ἐκτὸς τοῦ Βήματος, τότε λαμβάνει καιρὸν μετὰ τὸ τέλος τῆς Δοξολογίας, τοῦ α΄ Χοροῦ ψάλλοντος τὸ Τὸν δεσπότην καὶ Ἀρχιερέα... Ἐνδυομένου δὲ αὐτοῦ, οἱ μὲν Διάκονοι κρατοῦντες Δικηροτρίκηρα καὶ Θυμιατήρια, θυμιῶσι τὸν Ἀρχιερέα, καὶ ἐκφωνοῦσι τοὺς στίχους τῆς ἀρχιερατικῆς στολῆς, ἀπέναντι αὐτοῦ ἱστάμενοι, τῶν Χορῶν ψαλλόντων καθ᾽ ἕκαστον τῶν στίχων τὸ Κύριε ἐλέησον καὶ τὸ Ἀμήν.

Μετὰ τὸ τέλος τῶν στίχων τούτων, ὁ πρῶτος τῶν Διακόνων κατέχων ἐν μὲν τῇ δεξιᾷ Τρικήριον, ἐν δὲ τῇ ἀριστερᾷ Δικήριον, ἵσταται ἀπέναντι τοῦ Ἀρχιερέως καὶ ἐκφωνεῖ· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν· ὁ δὲ δεύτερος Διάκονος ἐκφωνεῖ· Πάντοτε, νῦν, καὶ ἀεί...

Τότε ὁ πρῶτος Διάκονος, πλησιάσας τῷ Ἀρχιερεῖ, δίδωσιν αὐτῷ, σταυρώσας τὰς χεῖρας, τὰ Δικηροτρίκηρα· οὗτος λαβὼν εὐλογεῖ δι' αὐτῶν τὸν λαόν, τῶν Χορῶν ψαλλόντων τὸ Εἰς πολλὰ ἔτη, δέσποτα.

Μετὰ ταῦτα γίνεται ἡ χειροθεσία Ἀναγνώστου ἢ Ὑποδιακόνου.

Εἶτα ὁ β' Χορὸς ψάλλει τὸ Τροπάριον· Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ἢ τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος, οὗ ψαλλομένου, οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι προσελθόντες ὑποκλίνουσι τὰς κεφαλὰς τῷ Ἀρχιερεῖ· ὁ δὲ α' Διάκονος λέγει· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ... Ὁ Ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Ὁ Διάκονος· Εὖξαι ὑπὲρ ἡμῶν... Ὁ Ἀρχιερεύς· Κατευθύναι Κύριος τὰ διαβήματα ὑμῶν... Ὁ Διάκονος· Μνήσθητι ἡμῶν... Ὁ Ἀρχιερεύς· Τῆς Ἱερωσύνης καὶ διακονίας ὑμῶν μνησθείη Κύριος... Ἀσπάζονται δὲ πάντες τὴν δεξιὰν τοῦ Ἀρχιερέως, λέγοντες· Τῆς Ἀρχιερωσύνης σου μνησθείη... Καὶ ὁ μὲν πρῶτος τῶν Ἱερέων εἰσέρχεται εἰς τὸ Ἱερόν, ὁ δὲ πρῶτος τῶν Διακόνων ἵσταται ἔξω πρὸ τῶν Ὡραίων Πυλῶν, λέγων· Εὐλόγησον, δέσποτα. Ὁ Ἱερεύς· Εὐλογημένη ἡ βασιλεία..., καὶ ἄρχεται ἡ θεία Λειτουργία.

## ΕΝ ΤΗ ΘΕΙΑ ΚΑΙ ΙΕΡΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΚΑΙ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

Μετὰ τὴν ἕκτην Ὠδὴν τῶν Κανόνων, ὁ Ἀρχιερεὺς κατέρχεται εἰς τὸν Ναόν, ἐὰν μὴ χοροστατήσῃ εἰς τὸν Ὄρθρον, καὶ παρ' αὐτοῦ λαμβάνουσι καιρὸν οἱ μέλλοντες λειτουργήσειν.

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος, λαβὼν εὐ-

λογίαν παρὰ τοῦ Ἀρχιερέως, καὶ λέγει· Εὐλόγησον, δέσποτα. Ὁ Ἱερεὺς ἐκφώνως· Εὐλογημένη ἡ βασιλεία...

Εἰς τὴν μικρὰν Εἴσοδον, τοῦ Διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ Ἀρχιερεὺς τὴν εὐχὴν τῆς Εἰσόδου μυστικῶς. Τελεσθείσης δὲ τῆς εὐχῆς, λέγει ὁ Διάκονος πρὸς τὸν χοροστατοῦντα Ἀρχιερέα· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν Εἴσοδον.

Καὶ ὁ χοροστατῶν Ἀρχιερεύς, εὐλογῶν, λέγει·

Εὐλογημένη ἡ Εἴσοδος τῶν Ἁγίων σου, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Διάκονος ἀπελθὼν εἰς τὸν Θρόνον, δίδωσιν αὐτῷ πρὸς ἀσπασμὸν τὸ ἅγιον Εὐαγγέλιον, καταφιλῶν ἅμα τὴν ἐκείνου χεῖρα.

Τοῦ δὲ Ἀναγνώστου ἀπαγγέλλοντος τὴν περικοπὴν τοῦ Ἀποστολικοῦ ἀναγνώσματος, ὁ Διάκονος λαβὼν τὸ Θυμιατήριον προσέρχεται κατ' εὐθεῖαν πρὸς τὸν Ἀρχιερέα καὶ ὑποκλίνας τὴν κεφαλήν, λέγει ἠρέμα· Εὐλόγησον, δέσποτα, τὸν Εὐαγγελιστήν... Ὁ Ἀρχιερεύς· Ὁ Θεὸς διὰ πρεσβειῶν... Κατερχόμενος δὲ τοῦ Θρόνου ὁ Διάκονος θυμιᾷ τὸν Ἀρχιερέα τρίς, τὰς Δεσποτικὰς εἰκόνας τρίς, τὸν λαὸν καὶ πάλιν τὸν Ἀρχιερέα ἐννεάκις καὶ εἰσέρχεται εἰς τὸ Ἱερόν· ἔνθα θυμιάσας τὴν ἁγίαν Τράπεζαν, τὴν Πρόθεσιν καὶ τὸν κλῆρον, καὶ ἀποθέμενος τὸ Θυμιατήριον λαμβάνει ἐκ τῶν χειρῶν τοῦ Ἱερέως τὸ ἱερὸν Εὐαγγέλιον.

Πληρωθέντος δὲ τοῦ Ἀποστόλου, ὁ χοροστατῶν Ἀρχιερεὺς λέγει· Εἰρήνη σοι τῷ ἀναγινώσκοντι. Ὁ δὲ β' Χορὸς ψάλλει τρὶς τὸ Ἀλληλούϊα.

Εἶτα ὁ Ἱερεὺς ἀπὸ τῆς Πύλης τοῦ Ἱεροῦ Βήματος ἐκφωνεῖ· Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι. Τοῦτο δὲ εἰπὼν ὁ Ἀρχιερεύς, ἀποτίθησι τὸ Ἐπικαλυμμαύκιον.

Ὁ α΄ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος· Ἐκ τοῦ κατὰ (τόνδε) ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Ἱερεύς· Πρόσχωμεν.

Ὁ β΄ Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀναγινώσκει ὁ Διάκονος τὴν τεταγμένην περικοπὴν τοῦ ἁγίου Εὐαγγελίου. Μετὰ δὲ τὸ τέλος ὁ Ἀρχιερεὺς λέγει· Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Καὶ εὐλογεῖ τὸν λαὸν ἀπὸ τοῦ Θρόνου διὰ τοῦ τιμίου Σταυροῦ· ὁ δὲ Χορὸς ἀντὶ τοῦ Δόξα σοι, Κύριε... ψάλλει ἀργῶς· Εἰς πολλὰ ἔτη, δέσποτα.

Ἐνταῦθα ὁ Ἀρχιερεὺς ἀπὸ τοῦ Θρόνου, ἢ ἀντ' αὐτοῦ ὁ Ἱεροκῆρυξ ἀπὸ τοῦ Ἱεροῦ Ἄμβωνος ἑρμηνεύει τὴν ἀναγνωσθεῖσαν Εὐαγγελικὴν ἢ καὶ τὴν Ἀποστολικὴν περικοπήν, καὶ διδάσκει τὸν λαὸν τοῦ Θεοῦ κατὰ γλῶσσαν ἁπλῆν καὶ καθαράν.

Μετὰ τὴν εὐχὴν τοῦ Χερουβικοῦ, λαβὼν ὁ Διάκονος τὸ Θυμιατήριον, θυμιᾷ κύκλῳ τὴν ἁγίαν Τράπεζαν, τὸ Ἱερατεῖον, τὰς Δεσποτικὰς εἰκόνας καὶ τὸν λαόν. Εἶτα προελθὼν μικρὸν τῶν Βημοθύρων θυμιᾷ πρῶτον τὸν Ἀρχιερέα τρίς, εἶτα τὰς Δεσποτικὰς εἰκόνας, καὶ αὖθις τὸν Ἀρχιερέα ἐννεάκις, καὶ εἰσελθὼν εἰς τὸ Ἱερὸν ἀποτίθησι τὸ Θυμιατήριον.

Ἐν δὲ τῇ Μεγάλῃ Εἰσόδῳ, ἐλθόντες ὁ Διάκονος καὶ ὁ Ἱερεὺς πρὸ τοῦ Θρόνου, καὶ στραφέντες πρὸς τὸν Ἀρχιερέα ἐκφωνοῦσιν ἀλληλοδιαδόχως·

Τῆς Ἀρχιερωσύνης σου μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ὁ Ἀρχιερεὺς λέγει· Ἀμήν.

Καὶ ἅμα εὐλογεῖ διὰ τοῦ τιμίου Σταυροῦ τὸν λαόν· ὁ δὲ α΄ Χορὸς ψάλλει εἰς ἦχον β΄· Εἰς πολλὰ ἔτη, δέσποτα· καὶ καταλήγει εἰς τὸν ἦχον τοῦ Χερουβικοῦ.

Μετὰ τὴν Ἐκφώνησιν· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Ὁ πρῶτος Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἀρχιερεὺς ἀπαγγέλλει τὸ ἅγιον Σύμβολον.

Ὅτε δὲ ὁ Ἱερεὺς ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... οὐκ εὐλογεῖ τὸν λαόν, ἀλλὰ στραφεὶς πρὸς τὸν Ἀρχιερέα κλίνει αὐτῷ τὴν κεφαλήν· ὁ δὲ Ἀρχιερεὺς εὐλογεῖ διὰ τοῦ τιμίου Σταυροῦ. Ὡσαύτως καὶ μετὰ τὸ Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ...

Ὅτε δὲ ὁ Ἱερεὺς ἐκφωνεῖ· Λάβετε, φάγετε... ὁ Ἀρχιερεὺς κατέρχεται τοῦ Θρόνου, ἕως τῆς συμπληρώσεως τοῦ Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν...

Ὁ Ἀρχιερεὺς ἀπαγγέλλει τὸ Πάτερ ἡμῶν, καὶ εὐλογεῖ τὸν λαὸν εἰς τὸ Εἰρήνη πᾶσι. Κατέρχεται τοῦ Θρόνου εἰς τὸ Τὰ Ἅγια τοῖς Ἁγίοις, καὶ ἀπὸ τοῦ Μετὰ φόβου Θεοῦ, πίστεως καὶ ἀγάπης προσέλθετε, μέχρι τῆς ἀποκαθιστάσεως τῶν θείων Δώρων ἐν τῇ Προθέσει. Αὐτὸς λέγει τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου..., καὶ οἱ Χοροὶ ψάλλουσι τὸ Εἰς πολλὰ ἔτη, δέσποτα.

Ἐν τῷ τέλει τῆς Λειτουργίας, εὐλογεῖ τὸν λαόν, λέγων τὸ Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ..., καὶ ὡσαύτως μετὰ τὴν Ἀπόλυσιν, ἀμφοτέρων τῶν Χορῶν ψαλλόντων ὁμοῦ· Τὸν δεσπότην καὶ Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε, εἰς πολλὰ ἔτη, δέσποτα. Καὶ διανέμει τὸ Ἀντίδωρον τοῖς πιστοῖς.

Ἐν τῇ ἐξόδῳ τοῦ Ἀρχιερέως, οἱ Χοροὶ ψάλλουσι τὸν πολυχρονισμὸν αὐτοῦ.

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ

Ὁ χοροστατῶν Ἀρχιερεὺς ἵσταται ἐν τῷ Παραθρονίῳ, ἄνευ Μανδύου καὶ ποιμαντικῆς Ῥάβδου.

Δυνατὸν δὲ γενέσθαι καὶ ἀρχιερατικὴν Λειτουργίαν, καθ' ἣν ὁ Ἀρχιερεύς, μετὰ τὰ Εἰρηνικά, προσευξάμενος ἐν σιγῇ, εἰσέρχεται εἰς τὸ Ἱερὸν καὶ ἐνδύεται οὐ πάνυ λαμπρὰν στολήν, καὶ ἄνευ Μίτρας καὶ μεγάλου Ὠμοφορίου. Γίνεται δέ, ἐν ἀνάγκῃ, καὶ χειροτονία Διακόνου μόνον, μετὰ τὴν μεγάλην Εἴσοδον. Ὑποδιάκονος δὲ χειροθετεῖται μετὰ τὴν Ἀπόλυσιν τῶν Τυπικῶν καὶ πρὸ τῆς ἐνάρξεως τοῦ Ἑσπερινοῦ ὑπὸ τοῦ Ἀρχιερέως, φοροῦντος μόνον τὸ Ἐπιτραχήλιον καὶ τὸ μικρὸν Ὠμοφόριον.

Ὁ Ἀρχιερεὺς κατέρχεται εἰς τὴν Ἐκκλησίαν ἐν τῷ τέλει τῶν Τυπικῶν. Μετὰ δὲ τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, εἷς τῶν παρακολουθησάντων Ἱερέων, ἢ ὁ Ἀναγνώστης λέγει δωδεκάκις τὸ Κύριε ἐλέησον· ὁ δὲ ἱερουργῶν Ἱερεὺς προσελθὼν πρὸ τῶν ὡραίων Πυλῶν, ποιεῖ μικρὰν Ἀπόλυσιν.

Ὁ Ἀρχιερεὺς λέγει· Δεῦτε προσκυνήσωμεν, κ.τ.λ. τρίς, καὶ ἐπισυνάπτει τὸν Προοιμιακὸν Ψαλμὸν μέχρι τέλους. Ἡ Εἴσοδος γίνεται ὡς ἐν τῷ συνήθει Ἑσπερινῷ.

Ἐν τῇ Μεγάλῃ Εἰσόδῳ, μετὰ τὴν συμπλήρωσιν τοῦ Ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται..., ὁ Ἀρχιερεὺς εὐλογεῖ διὰ τῆς δεξιᾶς τὸν λαόν· ὁ δὲ δεύτερος Χορὸς ψάλλει τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, καὶ καταλήγει εἰς τὸν ἦχον τοῦ Χερουβικοῦ.

Κατ' αὐτὴν τὴν ὥραν προσάγεται τῷ Ἀρχιερεῖ ὁ μέλλων χειροτονεῖσθαι Διάκονος. Μετὰ τὴν χειροτονίαν λέγει ὁ Διάκονος· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Ἀρχιερεὺς λέγει τὸ Πάτερ ἡμῶν, καὶ τὸ Εἰρήνη πᾶσι, ὡς ἐν τῇ Λειτουργίᾳ τοῦ Χρυσοστόμου. Ὡσαύτως λέγει μετὰ τὴν κοινωνίαν τῶν πιστῶν τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ οἱ Χοροὶ ψάλλουσι· Εἰς πολλὰ ἔτη, δέσποτα.



# ΠΡΟΣΦΩΝΗΣΕΙΣ

λεγόμεναι ὑπὸ τοῦ Ἀρχιδιακόνου,
ὅταν ὁ Ἀρχιερεὺς ἀλλάσσῃ
τὴν ἀρχιερατικὴν στολήν.

Μετὰ τὴν πρώτην Ὥραν, καθεζομένου τοῦ Ἀρχιερέως ἐπὶ τοῦ παραθρονίου, ἐκφωνεῖ ὁ Ἀρχιδιάκονος πρὸς αὐτόν·

( Ψαλμ. ΡΛΑ΄, 8 ). Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

Καὶ ἀναστὰς ὁ Ἀρχιερεύς, ἔρχεται σὺν τοῖς Διακόνοις πρὸ τῶν Βασιλικῶν Πυλῶν, καὶ ποιήσας Εὐλογητόν, ἅμα σὺν τοῖς Διακόνοις λέγει τὰ προγραφέντα Τροπάρια ἐν ἀρχῇ τῆς Διατάξεως τῆς ἱερᾶς Λειτουργίας, ἕως τοῦ Κύριε, ἐξαπόστειλον..., τῶν Χορῶν ψαλλόντων χαμαλῇ τῇ φωνῇ τὸν Εἱρμὸν τῆς ἑορτῆς. Εἶτα ἀπέρχεται καὶ καθίζεται ἐπὶ μικροῦ θρόνου προευτρεπισθέντος ἐν μέσῳ τῶν δύο Χορῶν.

Τότε ὁ Ἀρχιδιάκονος, βλέπων πρὸς ἀνατολάς, ἐκφωνεῖ τρίς· Ἱερεῖς τοῦ Κυρίου, ἐξέλθετε.

Καὶ οἱ Ἱερεῖς, προπορευομένων τῶν προεχόντων τῇ ἡλικίᾳ, ἐξέρχονται τοῦ Βήματος διὰ τῶν πυλῶν τοῦ βορείου καὶ τοῦ νοτίου κλίτους, φέροντες τὰ ἱερὰ ἄμφια, καὶ ἵστανται κατὰ τάξιν ἔμπροσθεν τοῦ Ἀρχιερέως, πρόσωπον κατὰ πρόσωπον, οὕτως·

Ἀρχιδιάκονος θυμιῶν.

| | |
|---|---|
| Στιχάριον. | Ἐπιτραχήλιον. |
| Ζώνη. | Πρῶτον Ἐπιμανίκιον. |
| Δεύτερον Ἐπιμανίκιον. | Ὑπογονάτιον. |
| Σάκκος. | Ὠμοφόριον. |
| Πρῶτον Ἐγκόλπιον. | Δεύτερον Ἐγκόλπιον. |
| Σταυρός. | Στέφανος. |
| Ῥάβδος. | |
| Δικήριον. | Τρικήριον. |

Διάκονος. Ἀρχιερεύς. Διάκονος.

Καὶ ὁ Ἀρχιερεὺς ἀναστὰς ἀποδύεται τὸν Μανδύαν καὶ τὸ Ῥάσον.

Ὁ Ἀρχιδιάκονος θυμιῶν ἐκφωνεῖ· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν Στιχάριον. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ δὲ Ἀρχιερεὺς εὐλογεῖ τὸ Στιχάριον.

Ὁ Ἀρχιδιάκονος· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ δὲ Ἀρχιερεύς, τοῦ Διακόνου τοῦτο εἰπόντος, ἐνδύεται τὸ Στιχάριον.

Καὶ ὁμοίως γίνεται ἐπὶ τῶν ἄλλων ἀμφίων.

Εἰς τὸ Ἐπιτραχήλιον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν Ἐπιτραχήλιον. Τοῦ Κυρίου δεηθῶμεν.

Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν ἐπὶ τοὺς Ἀρχιερεῖς αὐτοῦ· (Ψαλμ. ΡΛΒ΄, 2) ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ, πάντοτε...

Εἰς τὴν Ζώνην· Εὐλόγησον, δέσποτα, τὴν ἱερὰν Ζώνην. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΙΖ΄, 33-34). Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, πάντοτε...

Εἰς τὸ πρῶτον Ἐπιμανίκιον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν πρῶτον Ἐπιμανίκιον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ἔξοδ. ΙΕ΄, 6-7). Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς, καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους, πάντοτε...

Εἰς τὸ δεύτερον Ἐπιμανίκιον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν δεύτερον Ἐπιμανίκιον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΡΗ΄, 73). Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου, πάντοτε...

Εἰς τὸ Ὑπογονάτιον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν Ὑπογονάτιον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΜΔ΄, 4-5). Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, Δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, πάντοτε...

Εἰς τὸν Σάκκον· Εὐλόγησον, δέσποτα, τὸν ἱερὸν Σάκκον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΡΛΑ', 9). Οἱ Ἀρχιερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε...

Εἰς τὸ Ὠμοφόριον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν Ὠμοφόριον. Τοῦ Κυρίου δεηθῶμεν.

Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες. (Ψαλμ. ΡΘ', 4). Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ εἶ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ, πάντοτε...

Εἰς τὸ πρῶτον Ἐγκόλπιον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν πρῶτον Ἐγκόλπιον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. Ν', 10). Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου, πάντοτε...

Εἰς τὸ δεύτερον Ἐγκόλπιον· (εἰ ἐστὶν Ἀρχιεπίσκοπος, ἢ Μητροπολίτης, ἢ Πατριάρχης)· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν δεύτερον Ἐγκόλπιον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΜΔ', 1-3). Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ Βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, πάντοτε...

Εἰς τὸν Σταυρόν· Εὐλόγησον, δέσποτα, τὸν ἱερὸν Σταυρόν. Τοῦ Κυρίου δεηθῶμεν.

Εἶπεν ὁ Κύριος (Ματθ. ς', 24)· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι, πάντοτε...

Εἰς τὸν Στέφανον· Εὐλόγησον, δέσποτα, τὸν ἱερὸν Στέφανον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. Κ΄, 4-5). Εὐλογητὸς ὁ Θεὸς ὃς ἔθηκεν ἐπὶ τὴν κεφαλήν σου στέφανον ἐκ λίθων τιμίων· ζωὴν ᾔτησας καὶ ἔδωκέ σοι, πάντοτε...

Εἰς τὴν Ῥάβδον· Εὐλόγησον, δέσποτα, τὴν ἱερὰν Ῥάβδον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ψαλμ. ΜΔ΄, 8-9). Ῥάβδος εὐθήτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου, πάντοτε...

Εἰς τὸ Δικήριον καὶ Τρικήριον· Εὐλόγησον, δέσποτα, τὸ ἱερὸν Δικήριον καὶ Τρικήριον. Τοῦ Κυρίου δεηθῶμεν.

(Ματθ. Ε΄, 16). Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς, πάντοτε...

Καὶ ὁ Ἀρχιερεὺς εὐλογεῖ τὸν λαὸν μετὰ Δικηρίου καὶ Τρικηρίου, τῶν Χορῶν ψαλλόντων τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, ἢ τὸν Πολυχρονισμὸν τοῦ Ἀρχιερέως.

Εἰ ἔθος, ὅταν ἐνδύηται ὁ Ἀρχιερεὺς ἄνευ πομπῆς, ψάλλει ὁ Χορὸς τὸν Εἱρμὸν τοῦτον·

Σήμερον στολίζεται ἡ Ἐκκλησία, σήμερον στολίζεται ὁ φωστὴρ τῆς Ἐκκλησίας, τὴν ἀρχιερατικὴν στολὴν ἐνδυσάμενος, ὡς Ἀαρὼν νομοθετῶν, καὶ ὡς Μωσῆς ποδηγετῶν, καὶ ὡς μύρον εὐῶδες τοὺς μυκ-

τῆρας ἀνοιγῶν. Χαίροις, δέσποτα, τῆς μητρὸς εὐσεβοῦς ὁ στῦλος. Χαίροις, δέσποτα, τῆς ἐκ νεότητος ἠκολούθησας Χριστῷ. Χαίροις, μακαριότατε δέσποτα τῆς ἁγίας πόλεως τῆς δεῖνος. Κύριε, φύλαττε αὐτὸν εἰς πολλὰ ἔτη.



# ΜΗΝΟΛΟΓΙΟΝ ΣΥΝΤΟΜΟΝ

## ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ

### Σεπτέμβριος.

1. Ἀρχὴ τῆς Ἰνδίκτου. Μνήμη τῶν ἁγίων Συμεὼν τοῦ Στυλίτου καὶ Ἰησοῦ τοῦ Ναυῆ.
2. Μάμαντος μάρτυρος καὶ Ἰωάννου τοῦ Νηστευτοῦ, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
3. Ἀνθίμου ἱερομάρτυρος καὶ Θεοκτίστου ὁσίου.
4. Βαβύλα ἱερομάρτυρος καὶ Μωσέως προφήτου.
5. Ζαχαρίου προφήτου, πατρὸς τοῦ Προδρόμου.
6. Ἡ ἀνάμνησις τοῦ Ἀρχιστρατήγου Μιχαήλ.
7. Σώζοντος μάρτυρος.
8. Γενέθλιον τῆς Θεοτόκου.
9. Τῶν ἁγίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ Σεβηριανοῦ μάρτυρος.
10. Τῶν μαρτύρων Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας.
11. Θεοδώρας ὁσίας.
12. Ἀπόδοσις τοῦ Γενεθλίου τῆς Θεοτόκου, καὶ Αὐτονόμου ἱερομάρτυρος.
13. Ἐγκαίνια τοῦ Ναοῦ τῆς Ἀναστάσεως, καὶ Κορνηλίου ἱερομάρτυρος.
14. Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ.
15. Νικήτα μάρτυρος.
16. Εὐφημίας μεγαλομάρτυρος.
17. Σοφίας μάρτυρος, καὶ τῶν τριῶν αὐτῆς θυγατέρων Πίστεως, Ἀγάπης καὶ Ἐλπίδος.
18. Εὐμενίου, ἐπισκόπου Γορτύνης τῆς Κρήτης.
19. Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος μαρτύρων.
20. Εὐσταθίου μεγαλομάρτυρος.
21. Ἀπόδοσις τῆς Ὑψώσεως, καὶ Κοδράτου τοῦ ἀποστόλου, τοῦ ἐκ τῶν Ἑβδομήκοντα.

22. Φωκᾶ ἱερομάρτυρος.
23. Ἡ Σύλληψις τοῦ Προδρόμου.
24. Θέκλης πρωτομάρτυρος.
25. Εὐφροσύνης ὁσίας.
26. Ἡ μετάστασις Ἰωάννου τοῦ Θεολόγου.
27. Καλλιστράτου μάρτυρος.
28. Χαρίτωνος ὁμολογητοῦ.
29. Κυριακοῦ ἀναχωρητοῦ.
30. Γρηγορίου, ἐπισκόπου τῆς Μεγάλης Ἀρμενίας, ἱερομάρτυρος.

## Ὀκτώβριος.

1. Ἀνανίου τοῦ ἀποστόλου, τοῦ ἐκ τῶν Ἑβδομήκοντα, καὶ Ῥωμανοῦ τοῦ Μελῳδοῦ.
2. Κυπριανοῦ ἱερομάρτυρος καὶ Ἰουστίνης μάρτυρος.
3. Διονυσίου τοῦ Ἀρεοπαγίτου ἱερομάρτυρος.
4. Ἱεροθέου, ἐπισκόπου Ἀθηνῶν.
5. Χαριτίνης μάρτυρος.
6. Θωμᾶ ἀποστόλου.
7. Σεργίου καὶ Βάκχου μαρτύρων.
8· Πελαγίας ὁσίας.
9. Ἰακώβου τοῦ Ἀλφαίου ἀποστόλου, Ἀνδρονίκου ὁσίου καὶ τῆς συμβίου αὐτοῦ Ἀθανασίας.
10. Εὐλαμπίου καὶ Εὐλαμπίας μαρτύρων.

---

Τῇ Κυριακῇ κατὰ τὴν ἑνδεκάτην. — Τῶν Πατέρων τῆς ἑβδόμης οἰκουμενικῆς Συνόδου.

---

11. Φιλίππου ἀποστόλου, ἑνὸς τῶν ἑπτὰ Διακόνων, καὶ Θεοφάνους τοῦ Γραπτοῦ καὶ ὁμολογητοῦ.
12. Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου μαρτύρων.
13. Κάρπου, Παπύλου καὶ Ἀγαθονίκης μαρτύρων.
14. Ναζαρίου, Γερβασίου, Προτασίου καὶ Κελσίου μαρτύρων, καὶ τοῦ ὁσίου Κοσμᾶ τοῦ Ποιητοῦ.
15. Λουκιανοῦ ἱερομάρτυρος.
16. Λογγίνου τοῦ Ἑκατοντάρχου μάρτυρος.
17. Ὠσηὲ προφήτου καὶ Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει, ὁσιομάρτυρος.

18. Λουκᾶ ἀποστόλου καὶ εὐαγγελιστοῦ.
19. Ἰωὴλ προφήτου καὶ Οὐάρου μάρτυρος.
20. Ἀρτεμίου μεγαλομάρτυρος.
21. Ἰλαρίωνος τοῦ Μεγάλου, ὁσίου.
22. Ἀβερκίου, ἐπισκόπου Ἱεραπόλεως, ἰσαποστόλου.
23. Ἰακώβου τοῦ Ἀδελφοθέου, ἀποστόλου καὶ ἱερομάρτυρος.
24. Ἀρέθα μάρτυρος καὶ τῆς συνοδίας αὐτοῦ.
25. Μαρκιανοῦ καὶ Μαρτυρίου μαρτύρων.
26. Δημητρίου μεγαλομάρτυρος.
27. Νέστορος μάρτυρος.
28. Τερεντίου καὶ Νεονίλης μαρτύρων, καὶ τοῦ ὁσίου Στεφάνου τοῦ Σαββαΐτου.
29. Ἀναστασίας ὁσιομάρτυρος, καὶ Ἀβραμίου ὁσίου.
30. Ζηνοβίου καὶ Ζηνοβίας μαρτύρων.
31. Στάχυος, Ἀπελλοῦ, Ἀμπλία, Οὐρβανοῦ, Ἀριστοβούλου καὶ Ναρκίσσου ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, καὶ Ἐπιμάχου μάρτυρος.

## Νοέμβριος

1. Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων.
2. Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου καὶ Ἀνεμποδίστου μαρτύρων.
3. Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ μαρτύρων, καὶ τοῦ μεγαλομάρτυρος Γεωργίου.
4. Ἰωαννικίου ὁσίου, Νικάνδρου ἐπισκόπου καὶ Ἑρμαίου πρεσβυτέρου, ἱερομαρτύρων.
5. Γαλακτίωνος καὶ Ἐπιστήμης μαρτύρων.
6. Παύλου, ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.
7. Τῶν τριάκοντα δύο μαρτύρων τῶν ἐν Μελιτηνῇ, καὶ Λαζάρου τοῦ ὁσίου.
8. Τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ, καὶ τῶν λοιπῶν ἀσωμάτων Δυνάμεων.
9. Ὀνησιφόρου καὶ Πορφυρίου μαρτύρων, καὶ Ματρώνης ὁσίας.
10. Ὀλυμπᾶ, Ῥοδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου καὶ Κουάρτου ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, καὶ Ὀρέστου μάρτυρος.
11. Μηνᾶ, Βίκτωρος, Βικεντίου καὶ Στεφανίδος μαρτύρων, καὶ τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου ὁμολογητοῦ.

12. Ἰωάννου τοῦ Ἐλεήμονος, ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ τοῦ ὁσίου Νείλου τοῦ Σιναΐτου.
( Ἰωσαφάτ, ἀρχιεπισκόπου τῆς Πολότσκ, ἱερομάρτυρος ).
13. Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου.
14. Φιλίππου ἀποστόλου.
15. Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου μαρτύρων.
16. Ματθαίου ἀποστόλου καὶ εὐαγγελιστοῦ.
17. Γρηγορίου, ἐπισκόπου Νεοκαισαρείας.
18. Πλάτωνος καὶ Ῥωμανοῦ μαρτύρων.
19. Ἀβδιοῦ προφήτου καὶ Βαρλαὰμ μάρτυρος.
20. Γρηγορίου τοῦ Δεκαπολίτου καὶ Πρόκλου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
21. Ἡ ἐν τῷ ναῷ Εἴσοδος τῆς Θεοτόκου.
22. Φιλήμονος, Ἀπφίας, Ἀρχίππου καὶ Ὀνησίμου τῶν ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, καὶ Καικιλίας, Οὐαλεριανοῦ καὶ Τιβουρτίου τῶν μαρτύρων.
23. Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου καὶ Γρηγορίου, ἐπισκόπου Ἀκραγαντίνων.
24. Κλήμεντος Πάπα Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας, ἱερομαρτύρων.
25. Ἀπόδοσις τῶν Εἰσοδίων τῆς Θεοτόκου, Αἰκατερίνης καὶ Μερκουρίου μεγαλομαρτύρων.
26. Ἀλυπίου τοῦ Κιονίτου καὶ Νίκωνος τοῦ « Μετανοεῖτε », ὁσίων.
27. Ἰακώβου μεγαλομάρτυρος τοῦ Πέρσου.
28. Στεφάνου τοῦ Νέου ὁσιομάρτυρος, καὶ Εἰρηνάρχου μάρτυρος.
29. Παραμόνου καὶ Φιλουμένου μαρτύρων.
30. Ἀνδρέου ἀποστόλου, τοῦ Πρωτοκλήτου.

## Δεκέμβριος.

1. Ναοὺμ προφήτου.
2. Ἀββακοὺμ προφήτου.
3. Σοφονίου προφήτου.
4. Βαρβάρας μεγαλομάρτυρος, καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ ὁσίου.
5. Σάββα τοῦ Ἡγιασμένου, ὁσίου.
6. Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας.

7. Ἀμβροσίου, ἀρχιεπισκόπου Μεδιολάνων.
8. Παταπίου ὁσίου.
9. Ἡ Σύλληψις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς Θεοτόκου.
10. Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου μαρτύρων.

Τῇ Κυριακῇ κατὰ τὴν ἑνδεκάτην· τῶν ἁγίων Προπατόρων.

11. Δανιὴλ τοῦ Στυλίτου, ὁσίου.
12. Σπυρίδωνος, ἐπισκόπου Τριμυθοῦντος.
13. Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου μαρτύρων, καὶ Λουκίας μάρτυρος τῆς παρθένου.
14. Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος καὶ Ἀπολλωνίου μαρτύρων.
15. Ἐλευθερίου μάρτυρος.
16. Ἀγγαίου προφήτου.
17. Δανιὴλ τοῦ προφήτου καὶ τῶν ἁγίων Τριῶν Παίδων Ἀνανίου, Ἀζαρίου καὶ Μισαήλ.

Τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως· τῶν ἁγίων Πατέρων.

18. Σεβαστιανοῦ μάρτυρος.
19. Βονιφατίου μάρτυρος.
20. Ἰγνατίου τοῦ θεοφόρου, ἱερομάρτυρος.
21. Ἰουλιανῆς μάρτυρος.
22. Ἀναστασίας μεγαλομάρτυρος.
23. Τῶν δέκα μαρτύρων τῶν ἐν Κρήτῃ.
24. Εὐγενίας ὁσιομάρτυρος.
25. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Σωτῆρος ἡμῶν.

Τῇ Κυριακῇ μετὰ τὴν τοῦ Χριστοῦ Γέννησιν· Ἰωσὴφ τοῦ Μνήστορος, Δαβὶδ τοῦ βασιλέως καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου.

26. Ἡ Σύναξις τῆς Θεοτόκου, καὶ Εὐθυμίου ἱερομάρτυρος.
27. Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ Θεοδώρου τοῦ Γραπτοῦ καὶ ὁμολογητοῦ.
28. Τῶν μαρτύρων τῶν ἐν Νικομηδείᾳ καέντων.
29. Τῶν ἁγίων Νηπίων τῶν ἐν Βηθλεὲμ ὑπὸ Ἡρώδου ἀναιρεθέντων, καὶ Μαρκέλλου τοῦ ὁσίου.

30. Ἀνυσίας τῆς ὁσιομάρτυρος καὶ Ζωτικοῦ τοῦ Ὀρφανοτρόφου.
31. Ἀπόδοσις τῶν Χριστουγέννων, καὶ Μελάνης τῆς ὁσίας.

## Ἰανουάριος.

1. Περιτομὴ τοῦ Σωτῆρος ἡμῶν, καὶ Βασιλείου τοῦ Μεγάλου.
2. Σιλβέστρου, Πάπα Ῥώμης.
3. Μαλαχίου προφήτου καὶ Γορδίου μάρτυρος.
4. Ἡ Σύναξις τῶν Ἑβδομήκοντα Ἀποστόλων, καὶ Θεοκτίστου ὁσίου.
5. Θεοπέμπτου καὶ Θεωνᾶ μαρτύρων, καὶ Συγκλητικῆς ὁσίας.
6. Τὰ ἅγια Θεοφάνεια τοῦ Σωτῆρος ἡμῶν.
7. Ἡ Σύναξις τοῦ Προδρόμου.
8. Γεωργίου τοῦ Χοζεβίτου ὁσίου, καὶ Δομνίκης ὁσίας.
9. Πολυεύκτου μάρτυρος.
10. Γρηγορίου, ἐπισκόπου Νύσσης, Μαρκιανοῦ πρεσβυτέρου καὶ Δομετιανοῦ, ἐπισκόπου Μελιτηνῆς.
11. Θεοδοσίου τοῦ Κοινοβιάρχου, ὁσίου.
12. Τατιανῆς μάρτυρος.
13. Ἑρμύλου καὶ Στρατονίκου μαρτύρων.
14. Ἀπόδοσις τῶν Θεοφανείων, καὶ τῶν ἐν Ῥαϊθῷ καὶ Σινᾶ ἀναιρεθέντων ὁσίων Πατέρων.
15. Παύλου τοῦ Θηβαίου καὶ Ἰωάννου τοῦ Καλυβίτου, ὁσίων.
16. Ἡ προσκύνησις τῆς ἁλύσεως τοῦ ἀποστόλου Πέτρου.
17. Ἀντωνίου τοῦ Μεγάλου, ὁσίου.
18. Ἀθανασίου καὶ Κυρίλλου, ἀρχιεπισκόπων Ἀλεξανδρείας.
19. Μακαρίου τοῦ Αἰγυπτίου, ὁσίου, καὶ Ἀρσενίου, ἀρχιεπισκόπου Κερκύρας.
20. Εὐθυμίου τοῦ Μεγάλου, ὁσίου.
21. Μαξίμου τοῦ ὁμολογητοῦ, ὁσίου, καὶ Νεοφύτου μάρτυρος.
22. Τιμοθέου τοῦ ἀποστόλου, καὶ Ἀναστασίου τοῦ Πέρσου, ὁσιομάρτυρος.
23. Κλήμεντος Ἀγκύρας ἱερομάρτυρος, καὶ Ἀγαθαγγέλου μάρτυρος.
24. Ξένης ὁσίας.
25. Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου.
26. Ξενοφῶντος τοῦ ὁσίου καὶ τῆς συνοδίας αὐτοῦ.

27. Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου.
28. Ἐφραὶμ τοῦ Σύρου, ὁσίου.
29. Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Ἰγνατίου τοῦ θεοφόρου.
30. Ἱππολύτου ἱερομάρτυρος, πρεσβυτέρου τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, καὶ τῶν τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.
31. Κύρου καὶ Ἰωάννου τῶν ἀναργύρων.

## Φεβρουάριος.

1. Τρύφωνος μάρτυρος.
2. Ἡ Ὑπαπαντὴ τοῦ Χριστοῦ.
3. Συμεὼν τοῦ Θεοδόχου καὶ Ἄννης τῆς προφήτιδος.
4. Ἰσιδώρου τοῦ Πηλουσιώτου, ὁσίου.
5. Ἀγάθης μάρτυρος.
6. Βουκόλου, ἐπισκόπου Σμύρνης.
7. Παρθενίου, ἐπισκόπου Λαμψάκου, καὶ Λουκᾶ τοῦ ὁσίου.
8. Θεοδώρου τοῦ Στρατηλάτου, μεγαλομάρτυρος, καὶ Ζαχαρίου προφήτου.
9. Ἀπόδοσις τῆς Ὑπαπαντῆς, καὶ Νικηφόρου μάρτυρος.
10. Χαραλάμπους ἱερομάρτυρος.
11. Βλασίου ἱερομάρτυρος.
12. Μελετίου, ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης.
13. Μαρτινιανοῦ ὁσίου.
14. Αὐξεντίου ὁσίου.
    ( Μάρωνος ὁσίου ).
15. Ὀνησίμου ἀποστόλου, τοῦ ἐκ τῶν Ἑβδομήκοντα.
16. Παμφίλου μάρτυρος.
17. Θεοδώρου τοῦ Τίρωνος, μεγαλομάρτυρος.
18. Λέοντος, Πάπα Ῥώμης.
19. Ἀρχίππου ἀποστόλου, τοῦ ἐκ τῶν Ἑβδομήκοντα.
20. Λέοντος, ἐπισκόπου Κατάνης.
21. Τιμοθέου τοῦ ὁσίου, καὶ Εὐσταθίου, ἀρχιεπισκόπου Ἀντιοχείας τῆς Μεγάλης.
22. Ἡ εὕρεσις τῶν λειψάνων τῶν ἐν τοῖς Εὐγενίου μαρτύρων.
23. Πολυκάρπου, ἐπισκόπου Σμύρνης, ἱερομάρτυρος.
24. Ἡ πρώτη καὶ δευτέρα εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.

25. Ταρασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
26. Πορφυρίου, ἐπισκόπου Γάζης.
27. Προκοπίου τοῦ Δεκαπολίτου καὶ ὁμολογητοῦ.
28. Βασιλείου τοῦ ὁσίου καὶ ὁμολογητοῦ.
29. Κασσιανοῦ ὁσίου.

## Μάρτιος.

1. Εὐδοκίας ὁσιομάρτυρος.
2. Θεοδότου ἐπισκόπου Κυρηνίας, ἱερομάρτυρος.
3. Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου μαρτύρων.
4. Γερασίμου τοῦ ἐν Ἰορδάνῃ, ὁσίου.
5. Κόνωνος μάρτυρος.
6. Τῶν τεσσαράκοντα δύο μαρτύρων τῶν ἐν Ἀμορίῳ.
7. Τῶν ἑπτὰ ἱερομαρτύρων τῶν ἐν Χερσῶνι.
8. Θεοφυλάκτου, μητροπολίτου Νικομηδείας καὶ ὁμολογητοῦ.
9. Τῶν ἁγίων τεσσαράκοντα μαρτύρων τῶν ἐν Σεβαστείᾳ.
10. Κοδράτου μάρτυρος.
11. Σωφρονίου, πατριάρχου Ἱεροσολύμων.
12. Θεοφάνους τῆς Σιγριανῆς, τοῦ ὁσίου καὶ ὁμολογητοῦ. (Γρηγορίου τοῦ Διαλόγου, Πάπα Ῥώμης).
13. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Νικηφόρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
14. Βενεδίκτου ὁσίου.
15. Ἀγαπίου μάρτυρος.
16. Σαβίνου ἱερομάρτυρος.
17. Ἀλεξίου τοῦ ὁσίου, τοῦ Ἀνθρώπου τοῦ Θεοῦ.
18. Κυρίλλου, ἐπισκόπου Ἱεροσολύμων.
19. Χρυσάνθου καὶ Δαρείας μαρτύρων.
20. Τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα ἀναιρεθέντων Πατέρων.
21. Ἰακώβου ὁμολογητοῦ, ἐπισκόπου Κατάνης.
22. Βασιλείου ἱερομάρτυρος.
23. Νίκωνος ὁσιομάρτυρος.
24. Προεόρτια τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου.
25. Ὁ Εὐαγγελισμὸς τῆς Θεοτόκου.
26. Ἡ Σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ.
27. Ματρώνης ὁσίας.

28. Στεφάνου τοῦ θαυματουργοῦ καὶ Ἱλαρίωνος τοῦ Νέου, ὁσίων.
29. Μάρκου, ἐπισκόπου Ἀρεθουσίων, Κυρίλλου διακόνου καὶ ἑτέρων ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου ἀθλησάντων.
30. Ἰωάννου συγγραφέως τῆς Κλίμακος, τοῦ ὁσίου.
31. Ὑπατίου ἐπισκόπου Γαγγρῶν, ἱερομάρτυρος.

## Ἀπρίλιος.

1. Μαρίας τῆς Αἰγυπτίας, ὁσίας.
2. Τίτου ὁσίου καὶ θαυματουργοῦ.
3. Νικήτα ὁσίου καὶ ὁμολογητοῦ.
4. Θεοδούλου καὶ Ἀγαθόποδος μαρτύρων, Γεωργίου τοῦ ἐν Μαλεῷ καὶ Ἰωσὴφ τοῦ Ὑμνογράφου ὁσίων.
5. Κλαυδίου, Διοδώρου, Οὐΐκτωρος, Παππίου, Νικηφόρου καὶ Σεραπίωνος μαρτύρων.
6. Εὐτυχίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
7. Καλλιοπίου μάρτυρος.
8. Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Ἀσυγκρίτου, Φλέγοντος καὶ Ἑρμοῦ, τῶν ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
9. Εὐψυχίου μάρτυρος.
10. Τερεντίου, Πομπηΐου, Μαξίμου, Μακαρίου, Ἀφρικανοῦ μαρτύρων.
11. Ἀντίπα μάρτυρος.
12. Βασιλείου, ἐπισκόπου Παρίου, τοῦ ὁμολογητοῦ.
13. Μαρτίνου, Πάπα Ῥώμης, τοῦ ὁμολογητοῦ.
14. Ἀριστάρχου, Πούδη καὶ Τροφίμου, ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
15. Κρήσκεντος μάρτυρος.
16. Ἀγάπης, Εἰρήνης καὶ Χιόνης μαρτύρων.
17. Συμεὼν τοῦ ἐν Περσίδι, ἱερομάρτυρος.
18. Ἰωάννου ὁσίου.
19. Παφνουτίου ἱερομάρτυρος, καὶ Ἰωάννου τοῦ Παλαιολαυρίτου ὁσίου.
20. Θεοδώρου τοῦ Τριχινᾶ, ὁσίου.
21. Ἰανουαρίου ἱερομάρτυρος.
22. Θεοδώρου τοῦ Συκεώτου, ὁσίου.
23. Γεωργίου μεγαλομάρτυρος, τοῦ Τροπαιοφόρου.

24. Ἐλισάβετ ὁσίας, καὶ Σάββα τοῦ Γότθου μάρτυρος.
25. Μάρκου ἀποστόλου καὶ εὐαγγελιστοῦ.
26. Βασιλέως ἱερομάρτυρος, μητροπολίτου Ἀμασείας.
27. Συμεὼν ἱερομάρτυρος.
28. Ἰάσωνος καὶ Σωσιπάτρου, ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
29. Τῶν ἐννέα μαρτύρων τῶν ἐν Κυζίκῳ, καὶ Μέμνονος τοῦ ὁσίου.
30. Ἰακώβου τοῦ ἀποστόλου, ἀδελφοῦ Ἰωάννου τοῦ θεολόγου.

## Μάϊος.

1. Ἱερεμίου προφήτου.
2. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Ἀθανασίου τοῦ Μεγάλου.
3. Τιμοθέου καὶ Μαύρας μαρτύρων.
4. Πελαγίας μάρτυρος.
5. Εἰρήνης μάρτυρος.
6. Ἰὼβ τοῦ δικαίου καὶ πολυάθλου.
7. Ἡ ἀνάμνησις τοῦ θαύματος τοῦ τιμίου Σταυροῦ ἐν Ἱερουσαλήμ, ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.
8. Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ, καὶ τοῦ ὁσίου Ἀρσενίου τοῦ Μεγάλου.
9. Ἡσαΐου προφήτου καὶ Χριστοφόρου μάρτυρος.
10. Σίμωνος τοῦ Ζηλωτοῦ ἀποστόλου.
11. Μωκίου ἱερομάρτυρος.
( Μεθοδίου καὶ Κυρίλλου τῶν ἰσαποστόλων ).
12. Ἐπιφανίου ἐπισκόπου Κύπρου, καὶ Γερμανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
13. Γλυκερίας μάρτυρος.
14. Ἰσιδώρου μάρτυρος.
15. Παχωμίου τοῦ Μεγάλου, τοῦ ὁσίου, καὶ Ἀχιλλίου ἀρχιεπισκόπου Λαρίσσης.
16. Θεοδώρου τοῦ Ἡγιασμένου, ὁσίου.
17. Ἀνδρονίκου καὶ Ἰουνίας, ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
18. Πέτρου, Διονυσίας, Ἀνδρέου, Παύλου, Χριστίνης, Ἡρακλείου, Παυλίνου καὶ Βενεδίμου τῶν μαρτύρων.
19. Πατρικίου, Ἀκακίου, Μενάνδρου καὶ Πολυαίνου μαρτύρων.
20. Θαλλελαίου μάρτυρος.
21. Τῶν ἁγίων, μεγάλων Βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης.

22. Βασιλίσκου μάρτυρος.
23. Μιχαὴλ μητροπολίτου Συννάδων, τοῦ ὁσίου καὶ ὁμολογητοῦ.
24. Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει, τοῦ ὁσίου.
25. Ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.
26. Κάρπου ἀποστόλου, τοῦ ἐκ τῶν Ἑβδομήκοντα.
27. Ἑλλαδίου μάρτυρος.
28. Εὐτυχοῦς ἱερομάρτυρος.
29. Θεοδοσίας ὁσιομάρτυρος.
30. Ἰσαακίου, ἡγουμένου τῆς μονῆς τοῦ Δαλμάτου.
31. Ἑρμείου μάρτυρος.

## Ἰούνιος.

1. Ἰουστίνου τοῦ Φιλοσόφου καὶ τῶν σὺν αὐτῷ μαρτύρων.
2. Νικηφόρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.
3. Λουκιλλιανοῦ μάρτυρος.
4. Μητροφάνους, ἐπισκόπου Κωνσταντινουπόλεως.
5. Δωροθέου, ἐπισκόπου Τύρου.
   ( Κοσμᾶ ἱερομάρτυρος, τοῦ Ἀρμενίου ).
6. Βησσαρίωνος καὶ Ἱλαρίωνος τοῦ Νέου, ὁσίων.
7. Θεοδότου ἱερομάρτυρος.
8. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Θεοδώρου τοῦ Τίρωνος, μεγαλομάρτυρος.
9. Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας.
10. Ἀλεξάνδρου καὶ Ἀντωνίνης μαρτύρων, καὶ Τιμοθέου Προύσης ἱερομάρτυρος.
11. Βαρθολομαίου καὶ Βαρνάβα ἀποστόλων.
12. Ὀνουφρίου καὶ Πέτρου τοῦ ἐν τῷ Ἄθῳ, ὁσίων.
13. Ἀκυλίνης μάρτυρος, καὶ Τριφυλλίου ἐπισκόπου Λευκοσίας.
14. Ἐλισσαίου προφήτου, καὶ Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ὁμολογητοῦ.
15. Ἀμὼς προφήτου.
   ( Ἱερωνύμου Στριδωνίας, τοῦ Ἑρμηνευτοῦ ).
16. Τύχωνος, ἐπισκόπου Ἀμαθοῦντος.
17. Μανουήλ, Σαβὲλ καὶ Ἰσμαὴλ μαρτύρων.
18. Λεοντίου μάρτυρος.
19. Ἰούδα ἀποστόλου.

20. Μεθοδίου ἐπισκόπου Ὀλύμπου, ἱερομάρτυρος.
21. Ἰουλιανοῦ τοῦ Ταρσέως, μάρτυρος.
22. Εὐσεβίου ἐπισκόπου Σαμοσάτων, ἱερομάρτυρος.
23. Ἀγριππίνης μάρτυρος.
24. Τὸ Γενέθλιον τοῦ Προδρόμου.
25. Φεβρωνίας ὁσιομάρτυρος.
26. Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ, ὁσίου.
27. Σαμψὼν τοῦ Ξενοδόχου, ὁσίου.
28. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τῶν Ἀναργύρων Κύρου καὶ Ἰωάννου.
29. Πέτρου καὶ Παύλου τῶν Πρωτοκορυφαίων.
30. Ἡ Σύναξις τῶν Δώδεκα ἀποστόλων.

## Ἰούλιος.

1. Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων.
2. Ἡ κατάθεσις τῆς τιμίας ἐσθῆτος τῆς Θεοτόκου ἐν Βλαχέρναις.
3. Ὑακίνθου μάρτυρος καὶ Ἀνατολίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
4. Ἀνδρέου, ἀρχιεπισκόπου Κρήτης, τοῦ Ἱεροσολυμίτου.
5. Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, Λαμπαδοῦ καὶ Μάρθας τῶν ὁσίων.
6. Σισώη τοῦ Μεγάλου, ὁσίου.
7. Θωμᾶ καὶ Ἀκακίου τῶν ὁσίων, καὶ Κυριακῆς τῆς μεγαλομάρτυρος.
8. Προκοπίου μεγαλομάρτυρος.
9. Παγκρατίου, ἐπισκόπου Ταυρομενίου, ἱερομάρτυρος.
10. Τῶν ἐν Νικοπόλει τεσσαράκοντα καὶ πέντε μαρτύρων.
    (Φραγκίσκου, Μούτη καὶ Ῥαφαήλ, τῶν ἐν Δαμάσκῳ τῆς Συρίας μαρτύρων).
11. Εὐφημίας μεγαλομάρτυρος.
12. Πρόκλου καὶ Ἱλαρίου μαρτύρων.

---

Τῇ Κυριακῇ κατὰ τὴν δεκάτην τρίτην· μνήμη τῶν ἁγίων Πατέρων τῶν ἓξ πρώτων οἰκουμενικῶν Συνόδων.

---

13. Ἡ Σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ, καὶ Στεφάνου τοῦ Σαββαΐτου ὁσίου.

14. Ἀκύλα ἀποστόλου, καὶ Ἰωσὴφ ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Στουδίτου καὶ ὁμολογητοῦ.
15. Κηρύκου καὶ Ἰουλίττης μαρτύρων.
16. Ἀθηνογένους μάρτυρος.
17. Μαρίνης μεγαλομάρτυρος.
18. Αἰμιλιανοῦ μάρτυρος.
19. Μακρίνης καὶ Δίου τῶν ὁσίων.
20. Ἡλιοῦ τοῦ Θεσβίτου, τοῦ προφήτου.
21. Συμεὼν τοῦ διὰ Χριστὸν Σαλοῦ καὶ Ἰωάννου, ὁσίων.
22. Μαρίας τῆς Μαγδαληνῆς τῆς μυροφόρου καὶ ἰσαποστόλου.
23. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Φωκᾶ τοῦ μάρτυρος, καὶ Ἰεζεκιὴλ τοῦ προφήτου.
24. Χριστίνης μεγαλομάρτυρος.
25. Ἡ κοίμησις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς Θεοτόκου.
26. Ἑρμολάου, Ἑρμίππου καὶ Ἑρμοκράτους μαρτύρων, καὶ Παρασκευῆς ὁσιομάρτυρος.
27. Παντελεήμονος μεγαλομάρτυρος.
28. Προχώρου, Νικάνορος, Τίμωνος καὶ Παρμενᾶ, ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
29. Καλλινίκου καὶ Θεοδότης μαρτύρων.
30. Σίλα, Σιλουανοῦ, Κρήσκεντος, Ἐπαινέτου καὶ Ἀνδρονίκου, ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα.
31. Εὐδοκίμου τοῦ δικαίου.

## Αὔγουστος.

1. Ἡ πρόοδος τοῦ Σταυροῦ, τῶν ἑπτὰ μαρτύρων τῶν Μακκαβαίων καὶ τοῦ πρεσβύτου Ἐλεαζάρου.
2. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ πρωτομάρτυρος Στεφάνου.
3. Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου τῶν ὁσίων.
4. Τῶν ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ μαρτύρων, καὶ Εὐδοκίας ὁσιομάρτυρος.
5. Εὐσιγνίου μάρτυρος.
6. Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος.
7. Δομετίου ὁσιομάρτυρος.
8. Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου, τοῦ ὁμολογητοῦ.
9. Ματθία ἀποστόλου.
10. Λαυρεντίου μάρτυρος καὶ ἀρχιδιακόνου.

11. Εὔπλου μάρτυρος.
12. Φωτίου καὶ Ἀνικήτου μαρτύρων.
13. Ἀπόδοσις τῆς Μεταμορφώσεως, καὶ ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ.
14. Μιχαίου προφήτου.
15. Ἡ Κοίμησις τῆς Θεοτόκου.
16. Διομήδους μάρτυρος.
17. Μύρωνος μάρτυρος.
18. Φλώρου καὶ Λαύρου μαρτύρων.
19. Ἀνδρέου τοῦ στρατοπεδάρχου μάρτυρος.
20. Σαμουὴλ προφήτου.
21. Θαδδαίου ἀποστόλου καὶ Βάσσης μάρτυρος.
22. Ἀγαθονίκου μάρτυρος.
23. Ἀπόδοσις τῆς Κοιμήσεως καὶ Λούππου μάρτυρος. (Εἰρηναίου ἐπισκόπου Λουγδούνων, ἱερομάρτυρος).
24. Εὐτυχοῦς ἱερομάρτυρος.
25. Βαρθολομαίου καὶ Τίτου ἀποστόλων.
26. Ἀδριανοῦ καὶ Ναταλίας μαρτύρων.
27. Ποιμένος ὁσίου.
28. Μωσέως τοῦ Αἰθίοπος, ὁσίου. (Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος, καὶ Γεμβρὲ-Μιχαὴλ ἱερομάρτυρος, τοῦ Αἰθίοπος).
29. Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.
30. Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ Νέου, ἀρχιεπισκόπων Κωνσταντινουπόλεως.
31. Ἡ κατάθεσις τῆς τιμίας ζώνης τῆς Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.



# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

## Ἀκολουθία τοῦ Ἑσπερινοῦ.



## 

## Ἀκολουθία τοῦ Μεσονυκτικοῦ.



## Ἀκολουθία τοῦ Ὄρθρου.

# ΔΙΑΤΑΞΙΣ

## τῆς θείας καὶ ἱερᾶς Λειτουργίας.



## Παράρτημα τοῦ Ἱερατικοῦ.


ΔΟΞΑ
ΤΩ
ΘΕΩ

Τὸ παρὸν βιβλίον τετύπωται ἐν τῇ κώμῃ Χαρίσσᾳ τοῦ Λιβάνου Ὄρους, ἐν τῷ τυπογραφείῳ τῶν Ἱεροκηρύκων τοῦ Ἁγίου Παύλου, ἐν τῷ Πατριαρχείῳ τῆς Ἀντιοχείας, ἀρχιερατεύοντος Πίου τοῦ Δωδεκάτου τοῦ παναγιωτάτου Πάπα τῆς Παλαιᾶς Ῥώμης, Μαξίμου δὲ τοῦ Τετάρτου πατριαρχεύοντος ἐπὶ τοῦ θρόνου τῆς Μεγάλης Θεουπόλεως, ἐπιμελείᾳ δὲ καὶ διορθώσει τῆς ὁρισθείσης παρὰ τοῦ Ἱεροῦ Συμβουλίου τῆς Ἀνατολικῆς Ἐκκλησίας Ἐπιτροπῆς, ἀναλώμασι δὲ τῆς Ἁγίας Ἕδρας, ἐν ἔτει μὲν ἀπὸ κτίσεως κόσμου ,ζυξ', τῆς δὲ ἐνσάρκου οἰκονομίας ,αϡνβ', μηνὶ Μαρτίῳ.

Universitätsbibliothek
Eichstätt